24, ABOVE BAR,
UTHAMPTON.

John S. Whale,
Southampton,
31. 8. 17.

SELECT EPIGRAMS FROM THE GREEK ANTHOLOGY

WORKS BY J. W. MACKAIL.

Select Epigrams from the Greek Anthology. Edited, with Revised Text, Translation, Introduction, and Notes. 8vo, 14*s.* net.

Pocket Edition, 2 vols. (Greek Text, 1 vol.) (English Translation, 1 vol.), fcp. 8vo, gilt top, each 2*s.* net; leather, 3*s.* net. (*Sold separately.*)

Lectures on Greek Poetry. 8vo, 9*s.* 6*d.* net.

Lectures on Poetry. 8vo, 10*s.* 6*d.* net.

The Eclogues and Georgics of Virgil. Translated into English Prose. Square 16mo, 5*s.*

The Springs of Helicon: a Study in the Progress of English Poetry from Chaucer to Milton. Crown 8vo, 4*s.* 6*d.* net.

Biblia Innocentium. Part I.: being the Story of God's Chosen People before the Coming of our Lord Jesus Christ upon Earth, written anew for Children. Crown 8vo, gilt top, 6*s.*

Biblia Innocentium. Part II.: being the Story of God's Chosen People after the Coming of our Lord Jesus Christ upon Earth, written anew for Children. Crown 8vo, gilt top, 5*s.*

The Sayings of the Lord Jesus Christ, as recorded by His Four Evangelists. Collected and arranged by J. W. MACKAIL. Fcp. 8vo, 2*s.* 6*d.*

The Life of William Morris. With two Photogravure Portraits and eight other Illustrations. 2 vols. Large Crown 8vo, 10*s.* net.

Pocket Edition, 2 vols. Fcp. 8vo, gilt top, 4*s.* net; leather, 6*s.* net.

William Morris: an Address at Birmingham to the National Home Reading Union. 8vo, 1*s.* net.

LONGMANS, GREEN, AND CO.

LONDON, NEW YORK, BOMBAY, CALCUTTA, AND MADRAS

SELECT EPIGRAMS
FROM THE
GREEK ANTHOLOGY

EDITED BY

J. W. MACKAIL

M.A., LL.D., SOMETIME FELLOW OF BALLIOL COLLEGE
FORMERLY PROFESSOR OF POETRY IN THE
UNIVERSITY OF OXFORD

New Impression

LONGMANS, GREEN, AND CO.
39 PATERNOSTER ROW, LONDON
FOURTH AVENUE & 30TH STREET, NEW YORK
BOMBAY, CALCUTTA, AND MADRAS

1915

THIS volume contains, in a form which it is hoped may be useful in the Upper Forms of Schools and acceptable to lovers of poetry generally, the Greek text of the larger work, *Select Epigrams from the Greek Anthology, edited, with Revised Text, Translation, Introduction, and Notes, by* J. W. MACKAIL: *New Edition revised throughout.* (Longmans, Green & Co. 1906. Price, 14s. net.)

CONTENTS

PAGE

SELECT EPIGRAMS—

The Garland of Meleager, . . 1

I. Love, ... 3

II. Prayers and Dedications, . . 28

III. Epitaphs, ... 43

IV. Literature and Art, . . . 63

V. Religion, ... 79

VI. Nature, ... 86

VII. The Family, ... 96

VIII. Beauty, ... 104

IX. Fate and Change, . . . 109

X. The Human Comedy, . . . 120

XI. Death, ... 134

XII. Life, ... 152

INDICES, ... 167

THE GARLAND OF MELEAGER

Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδάν;
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθετᾶν στέφανον;
Ἄνυσε μὲν Μελέαγρος· ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον ταύταν ἐξεπόνησε χάριν·
Πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μοιροῦς
λείρια, καὶ Σαπφοῦς βαιὰ μέν, ἀλλὰ ῥόδα·
Νάρκισσόν τε χορὸν Μελαννιππίδου ἔγκυον ὕμνων,
καὶ νέον οἰνάνθης κλῆμα Σιμωνίδεω·
Σὺν δ' ἀναμὶξ πλέξας μυρόπνουν εὐάνθεμον ἶριν
Νοσσίδος, ἧς δέλτοις κηρὸν ἔτηξεν Ἔρως·
Τῇ δ' ἅμα καὶ σάμψυχον ἀφ' ἡδυπνόοιο Ῥιανοῦ
καὶ γλυκὺν Ἠρίννης παρθενόχρωτα κρόκον,
Ἀλκαίου τε λάληθρον ἐν ὑμνοπόλοις ὑάκινθον,
καὶ Σαμίου δάφνης κλῶνα μελαμπέταλον·
Ἐν δὲ Λεωνίδεω θαλεροὺς κισσοῖο κορύμβους,
Μνασάλκου τε κόμας ὀξοτόρου πίτυος·
Βλαισήν τε πλατάνιστον ἀπέθρισε Παμφίλου οἴμης
σύμπλεκτον καρύης ἔρνεσι Παγκράτεος,
Τύμνεώ τ' εὐπέταλον λεύκην, χλοερόν τε σίσυμβρον
Νικίου, Εὐφήμου τ' ἀμμότροφον πάραλον·
Ἐν δ' ἄρα Δαμάγητον ἴον μέλαν, ἡδύ τε μύρτον
Καλλιμάχου, στυφελοῦ μεστὸν ἀεὶ μέλιτος,
Λυχνίδα τ' Εὐφορίωνος, ἰδ' ἐν Μούσῃσιν ἄμωμον
ὃς Διὸς ἐκ κούρων ἔσχεν ἐπωνυμίην·
Τῇσι δ' ἅμ' Ἡγήσιππον ἐνέπλεκε μαινάδα βότρυν,
Πέρσου τ' εὐώδη σχοῖνον ἀμησάμενος·
Σὺν δ' ἅμα καὶ γλυκύμηλον ἀπ' ἀκρεμόνων Διοτίμου,

καὶ ῥοιῆς ἄνθη πρῶτα Μενεκράτεος,
Σμυρναίους τε κλάδους Νικαινέτου, ἠδὲ Φαέννου
τέρμινθον, βλωθρήν τ' ἀχράδα Σιμμίεω·
Ἐν δὲ καὶ ἐκ λειμῶνος ἀμωμήτοιο σέλινα,
βαιὰ διακνίζων ἄνθεα, Παρθενίδος,
Λείψανά τ' εὐκαρπεῦντα μελιστάκτων ἀπὸ Μουσέων
ξανθοὺς ἐκ καλάμης Βακχυλίδεω στάχυας·
Ἐν δ' ἄρ' Ἀνακρείοντα, τὸ μὲν γλυκὺ κεῖνο μέλισμα,
νεκταρέους δ' ἐλέγους, ἄσπορον ἀνθέμιον·
Ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκάνθης
Ἀρχιλόχου, πικρὰς στράγγας ἀπ' ὠκεανοῦ·
Τοῖς δ' ἅμ' Ἀλεξάνδροιο νέους ὄρπηκας ἐλαίης,
ἠδὲ Πολυκλείτου πορφύρεον κύαμον·
Ἐν δ' ἄρ' ἀμάρακον ἧκε Πολύστρατον, ἄνθος ἀοιδῶν,
Φοίνισσάν τε νέην κύπρον ἀπ' Ἀντιπάτρου·
Καὶ μὴν καὶ Συρίαν σταχυότριχα θήκατο νάρδον
ὑμνοθέταν Ἑρμοῦ δῶρον ἀειδόμενον·
Ἐν δὲ Ποσείδιππόν τε καὶ Ἡδύλον ἄγρι' ἀρούρης
Σικελίδεώ τ' ἀνέμοις ἄνθεα φυόμενα·
Ναὶ μὴν καὶ χρύσειον ἀεὶ θείοιο Πλάτωνος
κλῶνα τὸν ἐξ ἀρετῆς πάντοθι λαμπόμενον,
Ἄστρων τ' ἴδριν Ἄρατον ὁμοῦ βάλεν, οὐρανομάκευς
φοίνικος κείρας πρωτογόνους ἕλικας,
Λωτόν τ' εὐχαίτην Χαιρήμονος, ἐν φλογὶ μίξας
Φαιδίμου, Ἀνταγόρου τ' εὔστροφον ὄμμα βοός,
Τάν τε φιλάκρητον Θεοδωρίδεω νεοθαλῆ
ἔρπυλλον, κυάνων τ' ἄνθεα Φανίεω,
Ἄλλων τ' ἔρνεα πολλὰ νεόγραφα· τοῖς δ' ἅμα Μούσης
καὶ σφετέρης ἔτι που πρώϊμα λευκόϊα.
Ἀλλὰ φίλοις μὲν ἐμοῖσι φέρω χάριν, ἔστι δὲ μύσταις
κοινὸς ὁ τῶν Μουσέων ἡδυεπὴς στέφανος.

I

LOVE

I

PRELUDE

POSIDIPPUS

Κεκροπὶ ῥαῖνε λάγυνε πολύδροσον ἰκμάδα Βάκχου,
ῥαῖνε, δροσιζέσθω συμβολικὴ πρύποσις·
Σιγάσθω Ζήνων ὁ σοφὸς κύκνος, ἅ τε Κλεάνθους
μοῦσα· μέλοι δ' ἡμῖν ὁ γλυκύπικρος Ἔρως.

II

LAUS VENERIS

ASCLEPIADES

Ἡδὺ θέρους διψῶντι χιὼν ποτόν, ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν Στέφανον·
Ἥδιστον δ' ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
χλαῖνα καὶ αἰνῆται Κύπρις ὑπ' ἀμφοτέρων.

III

LOVE'S SWEETNESS

NOSSIS

Ἄδιον οὐδὲν Ἔρωτος, ἃ δ' ὄλβια, δεύτερα πάντα
ἐστίν· ἀπὸ στόματος δ' ἔπτυσα καὶ τὸ μέλι.
Τοῦτο λέγει Νοσσίς· τίνα δ' ἁ Κύπρις οὐκ ἐφίλασεν
οὐκ οἶδεν κήνας τἄνθεα ποῖα ῥόδα.

IV

LOVE AND THE SCHOLAR

MARCUS ARGENTARIUS

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων
Πύρρην ἐξαπίνης εἶδον ἐπερχομένην·
Βίβλον δὲ ῥίψας ἐπὶ γῆν χερί, ταῦτ' ἐβόησα·
ἔργα τί μοι παρέχεις, ὦ γέρον Ἡσίοδε;

V

THE FIRST KISS

STRATO

Ἑσπερίην Μοῖρίς με, καθ' ἣν ὑγιαίνομεν ὥρην,
οὐκ οἶδ' εἴτε σαφῶς εἴτ' ὄναρ, ἠσπάσατο·
Ἤδη γὰρ τὰ μὲν ἄλλα μάλ' ἀτρεκέως ἐνόησα
χὠκόσα μοι προσέφη, χὠκόσ' ἐπυνθάνετο.
Εἰ δέ με καὶ πεφίληκε τεκμαίρομαι· εἰ γὰρ ἀληθές,
πῶς ἀποθειωθεὶς πλάζομ' ἐπιχθόνιος;

VI

THE REVELLER

MELEAGER

Βεβλήσθω κύβος· ἄπτε· πορεύσομαι· ἠνίδε τόλμα.
οἰνοβαρές, τίν' ἔχεις φροντίδα; κωμάσομαι.
Κωμάσομαι; πῆ θυμὲ τρέπῃ; τί δ' ἔρωτι λογισμούς;
ἄπτε τάχος. ποῦ δ' ἡ πρόσθε λόγων μελέτη;
Ἐρρίφθω σοφίας ὁ πολὺς πόνος· ἓν μόνον οἶδα
τοῦθ', ὅτι καὶ Ζηνὸς λῆμα καθεῖλεν Ἔρως.

VII

LOVE AND WINE

RUFINUS

Ὡπλισμαι πρὸς Ἔρωτα περὶ στέρνοισι λογισμόν,
οὐδέ με νικήσει, μοῦνος ἐὼν πρὸς ἕνα,
Θνατὸς δ' ἀθανάτῳ συστήσομαι· ἢν δὲ βοηθὸν
Βάκχον ἔχῃ, τί μόνος πρὸς δύ' ἐγὼ δύναμαι;

VIII

LOVE IN THE STORM

ASCLEPIADES

Νῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου,
πάντα τὰ πορφύροντ' ἐν χθονὶ σεῖε νέφη,
Ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ' ἀφῇς
ζῆν,
καὶ διαθεὶς τούτων χείρονα, κωμάσομαι·
Ἕλκει γάρ μ' ὁ κρατῶν καὶ σοῦ θεός, ᾧ ποτε πεισθείς,
Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

IX

A KISS WITHIN THE CUP

AGATHIAS

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ' ἐθέλῃς με μεθύσσαι
πρῶτα σὺ γευομένη πρόσφερε καὶ δέχομαι·
Εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
εὐμαρές, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
Πορθμεύει γὰρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα,
καί μοι ἀπαγγέλλει τὴν χάριν ἣν ἔλαβεν.

X

LOVE'S MARTYR

MELEAGER

Αἰεί μοι δινεῖ μὲν ἐν οὔασιν ἦχος Ἔρωτος,
ὄμμα δὲ σῖγα Πόθοις τὸ γλυκὺ δάκρυ φέρει
Οὐδ' ἡ νύξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ' ὑπὸ φίλτρων
ἤδη που κραδίᾳ γνωστὸς ἔνεστι τύπος.
Ὦ πτανοί, τί δ' ἀεί ποτ' ἐφίπτασθαι μέν, Ἔρωτες,
οἴδατ', ἀποπτῆναι δ' οὐδ' ὅσον ἰσχύετε;

XI

LOVE'S DRINK

MELEAGER

Τὸ σκύφος ἡδὺ γέγηθε, λέγει δ' ὅτι τᾶς φιλέρωτος
Ζηνοφίλας ψαύει τοῦ λαλιοῦ στόματος,
Ὄλβιον· εἴθ' ὑπ' ἐμοῖς νῦν χείλεσι χείλεα θεῖσα
ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι.

XII

LOVE THE RUNAWAY

MELEAGER

Κηρύσσω τὸν Ἔρωτα τὸν ἄγριον· ἄρτι γὰρ ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
Ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος,
Πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ αἰθήρ,
οὐ χθών φησι τεκεῖν τὸν θρασύν, οὐ πέλαγος.
Πάντη γὰρ καὶ πᾶσιν ἀπέχθεται· ἀλλ' ἐσορᾶτε
μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.

Καίτοι κεῖνος, ἰδού, περὶ φωλεόν· οὔ με λέληθας,
τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

XIII

LOVE'S SYMPATHY

CALLIMACHUS

Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρὸν
πνεῦμα διὰ στηθέων, εἶδες, ἀνηγάγετο.
Τὸ τρίτον ἠνίδ' ἔπινε, τὰ δὲ ῥόδα φυλλοβολεῦντα
τῶνδρὸς ἀπὸ στεφάνων πάντ' ἐχέοντο χαμαί·
Ὤπτηται μέγα δή τι· μὰ δαίμονας οὐκ ἀπὸ ῥυσμοῦ
εἰκάζω, φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

XIV

THE MAD LOVER

PAULUS SILENTIARIUS

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ
ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν·
Λυσσώων τάχα πικρὸν Ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμέ, καὶ μανίαις θυμὸν ἐληΐσατο·
Σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόον.

XV

TO THE WORLD'S END

PAULUS SILENTIARIUS

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις,
πτηνὸς Ἔρως πτηνῷ κεῖσε μένει με φέρει·
Εἰ καὶ ἐς ἀντολίην πρὸς ὁμόχροον ἵξεαι Ἠῶ,
πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.

XVI

LOVE'S GARLAND

MELEAGER

Πλέξω λευκόϊον πλέξω δ' ἁπαλὴν ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,
Πλέξω καὶ κρόκον ἡδύν, ἐπιπλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
Ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου Ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

XVII

LOVER'S FRIGHT

MELEAGER

Ἅρπασται· τίς τόσσον ἂν αἰχμάσαι ἄγριος εἴη ;
τίς τόσος ἀντᾶραι καὶ πρὸς Ἔρωτα μάχην ;
Ἅπτε τάχος πεύκας· καίτοι κτύπος· Ἡλιοδώρας·
βαῖνε πάλιν στέρνων ἐντὸς ἐμῶν, κραδίη.

XVIII

LOVE IN SPRING

MELEAGER

Ἤδη λευκόϊον θάλλει, θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα·
Ἤδη δ' ἡ φιλέραστος, ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα Πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
Λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε ;
ἁ γὰρ παῖς κρέσσων ἁδυπνόων στεφάνων.

XIX

A FLOWER AMONG THE FLOWERS

MELEAGER

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας·
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

XX

PARTING AT DAWN

MELEAGER

Ἠοῦς ἄγγελε χαῖρε Φαεσφόρε καὶ ταχὺς ἔλθοις
Ἕσπερος ἣν ἀπάγεις λάθριος αὖθις ἄγων.

XXI

DEARER THAN DAY

PAULUS SILENTIARIUS

Σώζεο, σοὶ μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
ἂψ ἀνασειράζω καὶ πάλιν ἄγχι μένω,
Σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν οἷά τε πικρὴν
νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα·
Ἤματι γὰρ σέο φέγγος ὁμοίϊον· ἀλλὰ τὸ μέν που
ἄφθογγον, σὺ δέ μοι καὶ τὸ λάλημα φέρεις
Κεῖνο τὸ Σειρήνων γλυκερώτερον, ᾧ ἔπι πᾶσαι
εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

XXII

THE MORNING STAR

MACEDONIUS

Φωσφόρε, μὴ τὸν Ἔρωτα βιάζεο, μηδὲ διδάσκου
Ἄρεϊ γειτονέων νηλεὲς ἦτορ ἔχειν,

Ὡς δὲ πάρος Κλυμένης ὁρόων Φαέθοντα μελάθρῳ
οὐ δρόμον ὠκυπόδην εἶχες ἀπ' ἀντολίης,
Οὕτω μοι περὶ νύκτα μόγις ποθέοντι φανεῖσαν
ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

XXIII

AT COCKCROWING

ANTIPATER OF THESSALONICA

Ὄρθρος ἔβη, Χρύσιλλα, πάλαι δ' ἠῷος ἀλέκτωρ
κηρύσσων φθονερὴν Ἠριγένειαν ἄγει·
Ὀρνίθων ἔρροις φθονερώτατος, ὅς με διώκεις
οἴκοθεν εἰς πολλοὺς ἠϊθέων ὀάρους.
Γηράσκεις Τιθωνέ· τί γὰρ σὴν εὐνέτιν Ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων ;

XXIV

DAWN'S HASTE

MELEAGER

Ὄρθρε τί μοι δυσέραστε ταχὺς περὶ κοῖτον ἐπέστης
ἄρτι φίλας Δημοῦς χρωτὶ χλιαινομένῳ ;
Εἴθε πάλιν στρέψας ταχινὸν δρόμον Ἕσπερος εἴης,
ὦ γλυκὺ φῶς βάλλων εἰς ἐμὲ πικρότατον·
Ἤδη γὰρ καὶ πρόσθεν ἐπ' Ἀλκμήνην Διὸς ἦλθες
ἄντιος· οὐκ ἀδαὴς ἐσσὶ παλινδρομίης.

XXV

DAWN'S DELAY

MELEAGER

Ὄρθρε τί νῦν δυσέραστε βραδὺς περὶ κόσμον ἑλίσσῃ,
ἄλλος ἐπεὶ Δημοῦς θάλπεθ' ὑπὸ χλανίδι ;
Ἀλλ' ὅτε τὰν ῥαδινὰν κόλποις ἔχον ὠκὺς ἐπέστης,
ὡς βάλλων ἐπ' ἐμοὶ φῶς ἐπιχαιρέκακον.

XXVI

WAITING

PAULUS SILENTIARIUS

Δηθύνει Κλεοφάντις· ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν ἦκα μαραινόμενος·
Αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ.
μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
Ἃ πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἕσπερος ἥξειν·
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται οὔτε θεῶν.

XXVII

WAITING IN VAIN

ASCLEPIADES

Ὡμολόγησ' ἥξειν εἰς νύκτα μοι ἡ 'πιβόητος
Νικώ, καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον,
Κοὐχ ἥκει, φυλακὴ δὲ παροίχεται· ἆρ' ἐπιορκεῖν
ἤθελε; τὸν λύχνον, παῖδες, ἀποσβέσατε.

XXVIII

THE SCORNED LOVER

ASCLEPIADES

Νύξ, σὲ γὰρ οὐκ ἄλλην μαρτύρομαι, οἷά μ' ὑβρίζει
Πυθιὰς ἡ Νικοῦς οὖσα φιλεξαπάτης.
Κληθεὶς οὐκ ἄκλητος ἐλήλυθα· ταὐτὰ παθοῦσα
σοὶ μέμψαιτ' ἐπ' ἐμοῖς στᾶσά ποτε προθύροις.

XXIX

SLEEPLESS NIGHT

AGATHIAS

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι· εὖτε δ' ἐπέλθῃ
ὄρθρος ἐλινῦσαι μικρὰ χαριζόμενος,

Ἀμφιπεριτρύζουσι χελιδόνες, ἐς δέ με δάκρυ
βάλλουσιν γλυκερὸν κῶμα παρωσάμεναι,
Ὄμματα δ' οἰδάοντα φυλάσσεται, ἡ δὲ Ῥοδάνθης
αὖθις ἐμοῖς στέρνοις φροντὶς ἀναστρέφεται.
Ὦ φθονεραὶ παύσασθε λαλητρίδες, οὐ γὰρ ἔγωγε
τὴν Φιλομηλείην γλῶσσαν ἀπεθρισάμην·
Ἀλλ' Ἴτυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
εἰς ἔποπος κραναὴν αὖλιν ἐφεζόμεναι,
Βαιὸν ἵνα κνώσσοιμεν· ἴσως δέ τις ἥξει ὄνειρος
ὅς με Ῥοδανθείοις πήχεσιν ἀμφιβαλεῖ.

XXX

THE LOVE LETTER

RUFINUS

Ῥουφῖνος τῇ μῇ γλυκερωτάτῃ Ἐλπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν χωρὶς ἐμοῦ δύνασαι·
Οὐκέτι βαστάζω, μὰ τὰ σ' ὄμματα, τὴν φιλέρημον
καὶ τὴν μουνολεχῆ σεῖο διαζυγίην,
Ἀλλ' αἰεὶ δακρύοισι πεφυρμένος ἢ 'πι Κορησσὸν
ἔρχομαι ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος·
Αὔριον ἀλλὰ πάτρη με δεδέξεται, ἐς δὲ σὸν ὄμμα
πτήσομαι, ἐρρῶσθαι μυρία σ' εὐχόμενος.

XXXI

LOVE AND REASON

PHILODEMUS

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
δάκρυα καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη·
Φησὶ μέν, ἀλλὰ φυγεῖν οὔ μοι σθένος, ἡ γὰρ ἀναιδὴς
αὐτὴ καὶ προλέγει καὶ προλέγουσα φιλεῖ.

XXXII

ODI ET AMO

MELEAGER

Αγγειλον τάδε, Δορκάς· ἰδοὺ πάλι δεύτερον αὐτῇ
καὶ τρίτον ἄγγειλον, Δορκάς, ἅπαντα· τρέχε·
Μηκέτι μέλλε· πέτου. βραχύ μοι βραχύ, Δορκάς,
ἐπίσχες·
Δορκάς, ποῖ σπεύδεις πρίν σε τὰ πάντα μαθεῖν;
Πρόσθες δ' οἷς εἴρηκα πάλαι—μᾶλλον δ' ὅτι—ληρῶ·
μηδὲν ὅλως εἴπῃς—ἀλλ' ὅτι—πάντα λέγε·
Μὴ φείδου σὺ τὰ πάντα λέγειν. καίτοι τί σέ, Δορκάς,
ἐκπέμπω, σὺν σοὶ καὐτός, ἰδού, προάγων;

XXXIII

LOOKING AND LIKING

PAULUS SILENTIARIUS

Ὀφθαλμοί, τέο μέχρις ἀφύσσετε νέκταρ Ἐρώτων
κάλλεος ἀκρήτου ζωροπόται θρασέες;
Τῆλε διαθρέξωμεν ὅπῃ σθένος, ἐν δὲ γαλήνῃ
νηφάλια σπείσω Κύπριδι Μειλιχίῃ.
Εἰ δ' ἄρα που καὶ κεῖθι κατάσχετος ἔσσομαι οἴστρῳ,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
Ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον· ἐξ ὑμέων γάρ,
φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

XXXIV

FORGET-ME-NOT

AGATHIAS

Ἦ ῥά γε καὶ συ, Φίλιννα, φέρεις πόθον, ἦ ῥα καὶ αὐτὴ
κάμνεις αὐαλέοις ὄμμασι τηκομένη;

Ἦ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος οὔτε λόγος γίνεται οὔτ' ἀριθμός ;
Εὑρήσεις τὰ ὅμοια, τεὴν δ', ἀμέγαρτε, παρειὴν
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην·
Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος, ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

XXXV

AMANTIUM IRAE

PAULUS SILENTIARIUS

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
ἕσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη.
Ὕβρις ἔρωτας ἔλυσε· μάτην ὅδε μῦθος ἀλᾶται·
ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην·
Ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης,
ὦ πόποι, ἀλλ' ἱκέτης πρώϊος εὐθὺς ἔβην.

XXXVI

INCONSTANCY

MACEDONIUS

Παρμενὶς οὐκ ἔργῳ· τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ὠϊσάμην· σὺ δέ μοι πικροτέρη θανάτου·
Καὶ φεύγεις φιλέοντα καὶ οὐ φιλέοντα διώκεις
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.

XXXVII

TIME'S REVENGE

CALLIMACHUS

Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις·

Οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις· ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας·
Γείτονες οἰκτείρουσι, σὺ δ' οὐδ' ὄναρ· ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

XXXVIII

FLOWN LOVE

MARCUS ARGENTARIUS

Μήνη χρυσόκερως δέρκῃ τάδε καὶ πυριλαμπεῖς
ἀστέρες οὓς κόλποις Ὠκεανὸς δέχεται,
Ὥς με μόνον προλιποῦσα μυρόπνοος ὤχετ' Ἀρίστη,
ἑκταίην δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι·
Ἀλλ' ἔμπης αὐτὴν ζητήσομεν· ἦ ῥ' ἐπιπέμψω
Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας.

XXXIX

MOONLIGHT

PHILODEMUS

Νυκτερινή, δίκερως, φιλοπάννυχε φαῖνε Σελήνη,
φαῖνε, δι' εὐτρήτων παλλομένη θυρίδων·
Λύγαζε χρυσέην Καλλίστιον· ἐς τὰ φιλεύντων
ἔργα κατοπτεύειν οὐ φθόνος ἀθανάτῃ.
Ὀλβίζεις καὶ τήνδε καὶ ἡμέας, οἶδα, Σελήνη,
καὶ γὰρ σὴν ψυχὴν ἔφλεγεν Ἐνδυμίων.

XL

ROSE

AUTHOR UNKNOWN

Εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἁρσαμένη χαρίσῃ στήθεσι χιονέοις.

XLI

LILY

THEOPHANES

Εἴθε κρίνον γενόμην ἀργεννάον, ὄφρα με χερσὶν
ἁρσαμένη μᾶλλον σῆς χροτιῆς κορέσῃς.

XLII

LOVE AND SLEEP

MELEAGER

Εὕδεις Ζηνοφίλα, τρυφερὸν θάλος· εἴθ' ἐπὶ σοὶ νῦν
ἄπτερος εἰσῄειν ὕπνος ἐπὶ βλεφάροις,
Ὡς ἐπὶ σοὶ μήδ' οὗτος, ὁ καὶ Διὸς ὄμματα θέλγων,
φοιτήσαι, κάτεχον δ' αὐτὸς ἐγώ σε μόνος.

XLIII

SLAYER AND HEALER

MACEDONIUS

Ἕλκος ἔχω τὸν ἔρωτα, ῥέει δέ μοι ἕλκεος ἰχὼρ
δάκρυον ὠτειλῆς οὔποτε τερσομένης·
Εἰμὶ γὰρ ἐκ κακότητος ἀμήχανος, οὐδὲ Μαχάων
ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.
Τήλεφός εἰμι, κόρη, σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς·
κάλλεϊ σῷ παῦσον τὸν πόθον ὡς ἔβαλες.

XLIV

PERFUME ON THE VIOLET

AUTHOR UNKNOWN

Πέμπω σοι μύρον ἡδύ, μύρῳ παρέχων χάριν, οὐ σοί·
αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.

XLV

LOVE THE GAMBLER

MELEAGER

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
ἀστραγάλοις τοὐμὸν πνεῦμ' ἐκύβευσεν Ἔρως.

XLVI

DRIFTING

MELEAGER

Κῦμα τὸ πικρὸν Ἔρωτος ἀκοίμητοί τε πνέοντες
Ζῆλοι καὶ κώμων χειμέριον πέλαγος,
Ποῖ φέρομαι ; πάντη δὲ φρενῶν οἴακες ἀφεῖνται·
ἢ πάλι τὴν τρυφερὴν Σκύλλαν ἐποψόμεθα ;

XLVII

LOVE'S RELAPSES

MELEAGER

Ψυχὴ δυσδάκρυτε, τί σοι τὸ πεπανθὲν Ἔρωτος
τραῦμα διὰ σπλάγχνων αὖθις ἀναφλέγεται ;
Μή, μὴ πρός σε Διός, μὴ πρὸς Διός, ὦ φιλάβουλε,
κινήσῃς τέφρῃ πῦρ ὑπολαμπόμενον·
Αὐτίκα γάρ, λήθαργε κακῶν, πάλιν εἴ σε φυγοῦσαν
λήψετ' Ἔρως, εὑρὼν δραπέτιν αἰκίσεται.

XLVIII

LOVE THE BALL-PLAYER

MELEAGER

Σφαιριστὰν τὸν Ἔρωτα τρέφω, σοὶ δ', Ἡλιοδώρα,
βάλλει τὰν ἐν ἐμοὶ παλλομέναν κραδίαν.

Ἀλλ' ἄγε συμπαίκταν δέξαι Πόθον· εἰ δ' ἀπὸ σεῦ με
ῥίψαις, οὐκ οἴσω τὰν ἀπάλαιστρον ὕβριν.

XLIX

LOVE'S ARROWS

MELEAGER

Οὐ πλόκαμον Δημοῦς, οὐ σάνδαλον Ἡλιοδώρας,
οὐ τὸ μυρόρραντον Τιμαρίου πρόθυρον,
Οὐ τρυφερὸν μείδημα βοώπιδος Ἀντικλείας,
οὐ τοὺς ἀρτιθαλεῖς Δωροθέας στεφάνους
Οὐκέτι σοὶ φαρέτρη πικροὺς πτερόεντας ὀϊστοὺς
κρύπτει, Ἔρως· ἐν ἐμοὶ πάντα γάρ ἐστι βέλη.

L

LOVE'S EXCESS

AUTHOR UNKNOWN

Ὁπλίζευ, Κύπρι, τόξα, καὶ εἰς σκόπον ἥσυχος ἐλθὲ
ἄλλον· ἐγὼ γὰρ ἔχω τραύματος οὐδὲ τόπον.

LI

MOTH AND CANDLE

MELEAGER

Τὴν περινηχομένην ψυχὴν ἂν πολλάκι καίῃς
φεύξετ', Ἔρως· καὐτή, σχέτλι', ἔχει πτέρυγας.

LII

LOVE AT AUCTION

MELEAGER

Πωλείσθω καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων,
πωλείσθω· τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν ;

Καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον, ἄκρα δ' ὄνυξιν
κνίζει, καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ·
Πρὸς δ' ἔτι λοιπὸν ἄτρεπτον, ἀείλαλον, ὀξὺ δεδορκός,
ἄγριον οὐδ' αὐτῇ μητρὶ φίλῃ τιθασόν,
Πάντα τέρας· τοίγαρ πεπράσεται· εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει προσίτω.
Καίτοι λίσσετ' ἰδοὺ δεδακρυμένος· οὔ σ' ἔτι πωλῶ·
θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

LIII

INTER MINORA SIDERA

MARCUS ARGENTARIUS

Ἔγχει Λυσιδίκης κυάθους δέκα, τῆς δὲ ποθεινῆς
Εὐφράντης ἕνα μοι, λάτρι, δίδου κύαθον.
Φήσεις Λυσιδίκην με φιλεῖν πλέον· οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι·
Ἀλλά μοι Εὐφράντη μία πρὸς δέκα· καὶ γὰρ ἀπείρους
ἀστέρας ἓν μήνης φέγγος ὑπερτίθεται.

LIV

ROSA TRIPLEX

MELEAGER

Ἔγχει τᾶς Πειθοῦς καὶ Κύπριδος Ἡλιοδώρας
καὶ πάλι τᾶς αὐτᾶς ἀδυλόγου Χάριτος·
Αὐτὰ γὰρ μί' ἐμοὶ γράφεται θεός, ἃς τὸ ποθεινὸν
οὔνομ' ἐν ἀκρήτῳ συγκεράσας πίομαι.

LV

LOVE IN ABSENCE

MELEAGER

Εγχει καὶ πάλιν εἰπέ, πάλιν πάλιν, Ἡλιοδώρας,
εἰπέ, σὺν ἀκρήτῳ τὸ γλυκὺ μίσγ' ὄνομα,
Καί μοι τὸν βρεχθέντα μύροις καὶ χθιζὸν ἐόντα
μναμόσυνον κείνας ἀμφιτίθει στέφανον.
Δακρύει φιλέραστον ἰδοὺ ῥόδον, οὕνεκα κείναν
ἄλλοθι κοὐ κόλποις ἡμετέροις ἐσορᾷ.

LVI

THE SEA'S WOOING

MELEAGER

Α φίλερως χαροποῖς Ἀσκληπιὰς οἷα Γαλήνης
ὄμμασι συμπείθει πάντας ἐρωτοπλοεῖν.

LVII

THE TENTH MUSE

AUTHOR UNKNOWN

Τέσσαρες αἱ Χάριτες, Παφίαι δύο καὶ δέκα Μοῦσαι·
Δερκυλὶς ἐν πάσαις, Μοῦσα, Χάρις, Παφίη.

LVIII

THE LIGHT OF TROY

DIOSCORIDES

Ἵππον Ἀθήνιον ᾖσεν ἐμοὶ κακόν· ἐν πυρὶ πᾶσα
Ἴλιος ἦν, κἀγὼ κείνῃ ἅμ' ἐφλεγόμαν,
Οὐ δείσας Δαναῶν δεκέτη πόνον· ἐν δ' ἑνὶ φέγγει
τῷ τότε καὶ Τρῶες κἀγὼ ἀπωλόμεθα.

LIX

LOVE AND MUSIC

MELEAGER

Ἀδὺ μέλος ναὶ Πᾶνα τὸν Ἀρκάδα πηκτίδι μέλπεις,
Ζηνοφίλα, λίαν ἁδὺ κρέκεις τι μέλος·
Ποῖ σε φύγω ; πάντη με περιστείχουσιν Ἔρωτες,
οὐ δ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον·
Ἡ γάρ μοι μορφὰ βάλλει πόθον ἢ πάλι μοῦσα
ἢ χάρις ἢ—τί λέγω ; πάντα· πυρὶ φλέγομαι.

LX

HONEY AND STING

MELEAGER

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
ψαύεις ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας ;
Ἢ σύ γε μηνύεις ὅτι καὶ γλυκὺ καὶ τὸ δύσοιστον
πικρὸν ἀεὶ κραδίᾳ κέντρον Ἔρωτος ἔχει ;
Ναὶ δοκέω, τοῦτ' εἶπας· ἰὼ φιλέραστε παλίμπους
στεῖχε· πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

LXI

LOVE'S MESSENGER

MELEAGER

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος, οὔασι δ' ἄκροις
Ζηνοφίλας ψαύσας προσψιθύριζε τάδε·
Ἄγρυπνος μίμνει σε, σὺ δ' ὦ λήθαργε φιλούντων
εὕδεις· εἶα, πέτευ, ναὶ φιλόμουσε πέτευ·
Ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας
κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας·

Ἦν δ' ἀγάγῃς τὴν παῖδα, δορᾷ στέψω σε λέοντος,
κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

LXII

LOVE THE SLAYER

MELEAGER

Λίσσομ', Ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ἡλιοδώρας
κοίμισον αἰδεσθεὶς Μοῦσαν ἐμὴν ἱκέτιν·
Ναὶ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη,
Εἰ καί με κτείναις λείψω φωνὴν προϊέντα
γράμματ'· Ἔρωτος ὅρα, ξεῖνε, μιαιφονίην.

LXIII

FORSAKEN

MAECIUS

Τί στυγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα, Φιλαινί,
σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;
Μὴ τὸν ἐραστὴν εἶδες ἔχονθ' ὑποκόλπιον ἄλλην;
εἰπὸν ἐμοί· λύπης φάρμακ' ἐπιστάμεθα.
Δακρύεις, οὐ φῇς δέ· μάτην ἀρνεῖσθ' ἐπιβάλλῃ·
ὀφθαλμοὶ γλώσσης ἀξιοπιστότεροι.

LXIV

THE SLEEPLESS LOVER

MELEAGER

Ἀκρίς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,
ἀκρίς, ἀρουραίη Μοῦσα λιγυπτέρυγε,

Αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινον,
ἐγκρούουσα φίλοις ποσσὶ λάλους πτέρυγας,
Ὡς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,
ἀκρί, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον·
Δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω
καὶ δροσεραὶς στόμασι σχιζομένας ψακάδας.

LXV

REST AT NOON

MELEAGER

Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς
ἀγρονόμαν μέλπεις μοῦσαν ἐρημολάλον,
Ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις
αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας·
Ἀλλὰ φίλος φθέγγου τι νέον δενδρώδεσι Νύμφαις
παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον,
Ὄφρα φυγὼν τὸν Ἔρωτα μεσημβρινὸν ὕπνον ἀγρεύσω
ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ.

LXVI

THE BURDEN OF YOUTH

ASCLEPIADES

Οὐκ εἴμ' οὐδ' ἐτέων δύο κεἴκοσι, καὶ κοπιῶ ζῶν·
ὥρωτες, τί κακὸν τοῦτο; τί με φλέγετε;
Ἦν γὰρ ἐγώ τι πάθω, τί ποιήσετε; δῆλον, Ἔρωτες,
ὡς τὸ πάρος παίξεσθ' ἄφρονες ἀστραγάλοις.

LXVII

BROKEN VOWS

MELEAGER

Νὺξ ἱερὴ καὶ λύχνε, συνίστορας οὔτινας ἄλλους
ὅρκοις, ἀλλ' ὑμέας εἱλόμεθ' ἀμφότεροι,
Χὠ μὲν ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔ ποτε λείψειν
ὠμόσαμεν, κοινὴν δ' εἴχετε μαρτυρίην·
Νῦν δ' ὁ μὲν ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι,
λύχνε, σὺ δ' ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων.

LXVIII

DOUBTFUL DAWN

MELEAGER

Ὦ νύξ, ὦ φιλάγρυπνος ἐμοὶ πόθος Ἡλιοδώρας,
καὶ σκολιῶν ὄρθρων κνίσματα δακρυχαρῆ,
Ἆρα μένει στοργῆς ἐμὰ λείψανα, καὶ τὸ φίλημα
μνημόσυνον ψυχρᾷ θάλπετ' ἐν εἰκασίᾳ ;
Ἀρά γ' ἔχει σύγκοιτα τὰ δάκρυα, κἀμὸν ὄνειρον
ψυχαπάτην στέρνοις ἀμφιβαλοῦσα φιλεῖ ;
Ἢ νέος ἄλλος ἔρως, νέα παίγνια ; μήποτε λύχνε
ταῦτ' ἐσίδῃς, εἴης δ' ἧς παρέδωκα φύλαξ.

LXIX

THE DEW OF TEARS

ASCLEPIADES

Λὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
μίμνετε μὴ προπετῶς φύλλα τινασσόμενοι,
Οὓς δακρύοις κατέβρεξα (κάτομβρα γὰρ ὄμματ' ἐρώντων)·
ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης

Στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετόν, ὡς ἂν ἄμεινον
ἡ ξανθή γε κόμη τἀμὰ πίῃ δάκρυα.

LXX

LOVE'S GRAVE

MELEAGER

Ἤν τι πάθω, Κλεόβουλε (τί γὰρ πλέον; ἐν πυρὶ παίδων
βαλλόμενος κεῖμαι λείψανον ἐν σποδιῇ),
Λίσσομαι, ἀκρήτῳ μέθυσον, πρὶν ὑπὸ χθόνα θέσθαι
κάλπιν, ἐπιγράψας· Δῶρον Ἔρως Ἀΐδῃ.

LXXI

LOVE'S MASTERDOM

MELEAGER

Δεινὸς Ἔρως, δεινός· τί δὲ τὸ πλέον, ἢν πάλιν εἴπω
καὶ πάλιν, οἰμώζων πολλάκι, δεινὸς Ἔρως;
Ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς
ἥδεται, ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται·
Θαῦμα δέ μοι, πῶς ἆρα διὰ γλαυκοῖο φανεῖσα
κύματος, ἐξ ὑγροῦ, Κύπρι, σὺ πῦρ τέτοκας.

LXXII

LOVE THE CONQUEROR

MELEAGER

Κεῖμαι· λὰξ ἐπίβαινε κατ' αὐχένος, ἄγριε δαῖμον·
οἶδά σε, ναὶ μὰ θεούς, καὶ βαρὺν ὄντα φέρειν·

Οἶδα καὶ ἔμπυρα τόξα· βαλὼν δ' ἐπ' ἐμὴν φρένα πυρσοὺς
οὐ φλέξεις ἤδη· πᾶσα γάρ ἐστι τέφρη.

LXXIII

LOVE'S PRISONER

MELEAGER

Οὔ σοι τοῦτ' ἐβόων, ψυχή, ναὶ Κύπριν, ἁλώσει,
ὦ δύσερως, ἰξῷ πυκνὰ προσιπταμένη;
Οὐκ ἐβόων; εἷλέν σε πάγη· τί μάτην ἐνὶ δεσμοῖς
σπαίρεις; αὐτὸς Ἔρως τὰ πτέρα σου δέδεκεν
Καί σ' ἐπὶ πῦρ ἔστησε μύροις δ' ἔρρανε λιπόπνουν
δῶκε δὲ διψώσῃ δάκρυα θερμὰ πιεῖν.

LXXIV

FROST AND FIRE

MELEAGER

Ἁ ψυχὴ βαρύμοχθε, σὺ δ' ἄρτι μὲν ἐκ πυρὸς αἴθῃ
ἄρτι δ' ἀναψύχεις πνεῦμ' ἀναλεξαμένη·
Τί κλαίεις; τὸν ἄτεγκτον ὅτ' ἐν κόλποισιν Ἔρωτα
ἔτρεφες, οὐκ ᾔδεις ὡς ἐπὶ σοὶ τρέφετο;
Οὐκ ᾔδεις; νῦν γνῶθι καλῶν ἄλλαγμα τροφείων
πῦρ ἅμα καὶ ψυχρὰν δεξαμένη χιόνα.
Αὐτὴ ταῦθ' εἵλου· φέρε τὸν πόνον· ἄξια πάσχεις
ὧν ἔδρας, ὀπτᾷ καιομένη μέλιτι.

LXXV

THE SCULPTOR OF SOULS

MELEAGER

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
ψυχὴν τῆς ψυχῆς αὐτὸς ἔπλασσεν Ἔρως.

LXXVI

LOVE'S IMMORTALITY

STRATO

Τίς δύναται γνῶναι τὸν ἐρώμενον εἰ παρακμάζει,
πάντα συνὼν αὐτῷ μηδ' ἀπολειπόμενος ;
Τίς δύνατ' οὐκ ἀρέσαι τὴν σήμερον, ἐχθὲς ἀρέσκων :
εἰ δ' ἀρέσει, τί παθὼν αὔριον οὐκ ἀρέσει ;

II

PRAYERS AND DEDICATIONS

I

TO ZEUS OF SCHERIA

JULIUS POLYAENUS

Εἰ καί σευ πολύφωνος ἀεὶ πίμπλησιν ἀκουὰς
ἢ φόβος εὐχομένων ἢ χάρις εὐξαμένων,
Ζεῦ Σχερίης ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
κλῦθι καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ
Ἤδη μοι ξενίης εἶναι πέρας, ἐν δέ με πάτρῃ
ζόειν τῶν δολιχῶν παυσάμενον καμάτων.

II

TO THE GOD OF THE SEA

CRINAGORAS

Φρὴν ἱερὴ μεγάλου Ἐνοσίχθονος, ἔσσο καὶ ἄλλοις
ἠπίη Αἰγαίην οἳ διέπουσιν ἅλα·
Κἠμοὶ γὰρ Θρήϊκι διωκομένῳ ὑπ' ἀήτῃ
ὤρεξας πρηεῖς ἀσπασίῳ λιμένας.

III

TO THE GOD OF HARBOUR AND HEADLAND

ANTIPHILUS

Ἀρχέλεως, λιμενῖτα, σὺ μὲν μάκαρ ἠπίῳ αὔρῃ
πέμπε κατὰ σταθερῆς οἰχομένην ὀθόνην

Ἄχρις ἐπὶ Τρίτωνα· σὺ δ' ἠόνος ἄκρα λελογχὼς
τὴν ἐπὶ Πυθείου ῥύεο ναυστολίην·
Κεῖθεν δ', εἰ Φοίβῳ μεμελήμεθα πάντες ἀοιδοί,
πλεύσομαι εὐαεῖ θαρσαλέως Ζεφύρῳ.

IV

TO POSEIDON OF AEGAE

ALPHEUS

Νηῶν ὠκυπόρων ὃς ἔχεις κράτος, ἵππιε δαῖμον,
καὶ μέγαν Εὐβοίης ἀμφικρεμῆ σκόπελον,
Οὔριον εὐχομένοισι διδου πλόον Ἄρεος ἄχρις
ἐς πόλιν ἐκ Συρίης πείσματα λυσαμένοις.

V

TO THE LORD OF SEA AND LAND

MACEDONIUS

Νῆα σοί, ὦ πόντου βασιλεῦ καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντας μηκέτι τεγγομένην,
Νῆα πολυπλανέων ἀνέμων πτερόν, ἧς ἔπι δειλὸς
πολλάκις ὠϊσάμην εἰσελάᾳν Ἀΐδῃ·
Πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

VI

TO THE GODS OF SEA AND WEATHER

PHILODEMUS

Ἰνοῦς ὦ Μελικέρτα σύ τε γλαυκὴ μεδέουσα
Λευκοθέη πόντου, δαῖμον ἀλεξίκακε,

Νηρήδων τε χοροί, καὶ κύματα, καὶ σὺ Πόσειδον
καὶ Θρήϊξ ἀνέμων πρηΰτατε Ζέφυρε,
Ἴλαοί με φέροιτε διὰ πλατὺ κῦμα φυγόντα
σῶον ἐπὶ γλυκεραὶν ᾐόνα Πειραέως.

VII

TO POSEIDON, BY A FISHERMAN

MACEDONIUS

Δίκτυον ἀκρομόλιβδον Ἀμύντιχος ἀμφὶ τριαίνῃ
δῆσε γέρων ἁλίων παυσάμενος καμάτων,
Ἐς δὲ Ποσειδάωνα καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
εἶπεν ἀποσπένδων δάκρυον ἐκ βλεφάρων·
Οἶσθα, μάκαρ, κέκμηκα· κακοῦ δ' ἐπὶ γήραος ἡμῖν
ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη·
Θρέψον ἔτι σπαῖρον τὸ γερόντιον, ἀλλ' ἀπὸ γαίης,
ὡς ἐθέλεις μεδέων καὶ χθονὶ καὶ πελάγει.

VIII

TO PALAEMON AND INO

ANTIPATER OF SIDON

Λείψανον ἀμφίκλαστον ἁλιπλανέος σκολοπένδρας
τοῦτο κατ' εὐψαμάθου κείμενον ἠϊόνος
Δισσάκι τετρόργυιον, ἅπαν πεφορυγμένον ἀφρῷ,
πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι
Ἑρμώναξ ἐκίχανεν, ὅτε γριπηΐδι τέχνῃ
εἷλκε τὸν ἐκ πελάγους ἰχθυόεντα βόλον,
Εὑρὼν δ' ἠέρτησε Παλαίμονι παιδὶ καὶ Ἰνοῖ,
δαίμοσιν εἰναλίοις δοὺς τέρας εἰνάλιον.

IX

TO ARTEMIS OF THE FISHING-NETS

APOLLONIDES

Τρῖγλαν ἀπ' ἀνθρακιῆς καὶ φυκίδα σοί, λιμενῖτι
Ἄρτεμι, δωρεῦμαι Μῆνις ὁ δικτυβόλος,
Καὶ ζωρὸν κεράσας ἰσοχειλέα, καὶ τρύφος ἄρτου
αὖον ἐπιθραύσας, τὴν πενιχρὴν θυσίην·
Ἀνθ' ἧς μοι πλησθέντα δίδου θηράμασιν αἰὲν
δίκτυα· σοὶ δέδοται πάντα, μάκαιρα, λίνα.

X

TO PRIAPUS OF THE SHORE

MAECIUS

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα παρ' ἀκταίης σοὶ τάδ' ἐπωφελίης,
Θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς·
Φηγίνεον κρητῆρι, καὶ αὐτούργητον ἐρείκης
βάθρον, ἰδ' ὑαλέην οἰνοδόκον κύλικα,
Ὡς ἂν ὑπ' ὀρχησμῶν λελυγισμένον ἔγκοπον ἴχνος
ἀμπαύσῃς ξηρὴν δίψαν ἐλαυνόμενος.

XI

TO APOLLO OF LEUCAS

PHILIPPUS

Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέσκοπον ὄχθον,
Φοῖβε, τὸν Ἰονίῳ λουόμενον πελάγει,
Δέξαι πλωτήρων μάζης χεριφυρέα δαῖτα
καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι
Καὶ βραχυφεγγίτου λύχνου σέλας ἐκ βιοφειδοῦς
ὄλπης ἡμιμεθεῖ πινόμενον στόματι,

Ἀνθ' ὧν ἱλήκοις ἐπὶ δ' ἱστία πέμψον ἀήτην
οὔριον Ἀκτιακοὺς σύνδρομον εἰς λιμένας.

XII

TO ARTEMIS OF THE WAYS

ANTIPHILUS

Εἰνοδίη, σοὶ τόνδε φίλης ἀνεθήκατο κόρσης
πῖλον ὁδοιπορίης σύμβολον Ἀντίφιλος·
Ἥσθα γὰρ εὐχωλῇσι κατήκοος, ἥσθα κελεύθοις
ἵλαος· οὐ πολλὴ δ' ἡ χάρις, ἀλλ' ὁσίη.
Μὴ δέ τις ἡμετέρου μάρψῃ χερὶ μαργὸς ὁδίτης
ἀνθέματος· συλᾷν ἀσφαλὲς οὐδ' ὀλίγα.

XIII

TO THE TWIN BRETHREN

CALLIMACHUS

Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε
γιγνώσκω) νίκης ἀντί με τῆς ἰδίης
Ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδῃσιν·
πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.

XIV

TO ARTEMIS THE HEALER

PHILIPPUS

Ζηνὸς καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη,
Ἄρτεμις ἣ θαλάμους τοὺς ὀρέων ἔλαχες,
Νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος
ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων·
Σοὶ γὰρ ὑπὲρ βωμῶν ἀτμὸν λιβάνοιο Φίλιππος
ῥέξει, καλλιθυτῶν κάπρον ὀρειονόμον.

XV

TO ASCLEPIUS

THEOCRITUS

Ἦλθε καὶ ἐς Μίλατον ὁ τοῦ Παιήονος υἱὸς
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ, ὅς μιν ἐπ' ἆμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστὰς
μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχναν.

XVI

TO THE WATER NYMPHS

HERMOCREON

Νύμφαι ἐφυδρίαδες, ταῖς Ἑρμοκρέων τάδε δῶρα
εἵσατο, καλλινάου πίδακος ἀντιτυχών,
Χαίρετε, καὶ στείβοιτ' ἐρατοῖς ποσὶν ὑδατόεντα
τόνδε δόμον, καθαροῦ πιμπλάμεναι πόματος.

XVII

TO PAN PAEAN

AUTHOR UNKNOWN

Σοὶ τάδε, συρικτὰ ὑμνηπόλε μείλιχε δαῖμον,
ἁγνὲ λοετροχόων κοίρανε Ναϊάδων,
Δῶρον Ὑγεῖνος ἔτευξεν, ὃν ἀργαλέης ἀπὸ νούσου
αὐτός, ἄναξ, ὑγιῆ θήκαο προσπελάσας·
Πᾶσι γὰρ ἐν τεκέεσσιν ἐμοῖς ἀναφανδὸν ἐπέστης
οὐκ ὄναρ, ἀλλὰ μέσους ἤματος ἀμφὶ δρόμους.

XVIII

TO HERACLES OF OETA

DIONYSIUS

Ἡράκλεες Τρηχῖνα πολύλλιθον ὅς τε καὶ Οἴτην
καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης,
Τοῦτό σοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
χλωρὸν ἀπὸ δρεπάνῳ θῆκε ταμὼν ῥόπαλον.

XIX

TO APOLLO AND THE MUSES

THEOCRITUS

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσιν,
Ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλαΐσεν·
Βωμὸν δ' αἱμάξει κεραὸς τράγος οὗτος ὁ μᾶλος
τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

XX

TO APHRODITE OF THE GOLDEN HOUSE

MOERO

Κεῖσαι δὴ χρυσέαν ὑπὸ παστάδα τὰν Ἀφροδίτας,
βότρυ, Διωνύσου πληθόμενος σταγόνι,
Οὐδ' ἔτι τοι μάτηρ ἐρατὸν περὶ κλῆμα βαλοῦσα
φύσει ὑπὲρ κρατὸς νεκτάρεον πέταλον.

XXI

TO APHRODITE, BY CALLISTION

POSIDIPPUS

Ἃ Κύπρον ἅ τε Κύθηρα καὶ ἃ Μίλητον ἐποιχνεῖς
καὶ τὸ καλὸν Συρίης ἱπποκρότου δάπεδον,

Ἔλθοις ἵλαος Καλλιστίῳ, ἣ τὸν ἐραστὴν
οὐδέ ποτ' οἰκείων ὦσεν ἀπὸ προθύρων.

XXII

TO APHRODITE, BY LAIS

PLATO

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐρασ-
τῶν
ἑσμὸν ἐνὶ προθύροις Λαΐς ἔχουσα νέων,
Τῇ Παφίῃ τὸ κάτοπτρον· ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος οὐ δύναμαι.

XXIII

TO APHRODITE, WITH A TALISMAN

AUTHOR UNKNOWN

Ἴυγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἕλκειν
ἄνδρα καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη,
Χρυσῷ ποικιλθεῖσα, διαυγέος ἐξ ἀμεθύστου
γλυπτή, σοὶ κεῖται, Κύπρι, φίλον κτέανον,
Πορφυρέης ἀμνοῦ μαλακῇ τριχὶ μέσσα δεθεῖσα,
τῆς Λαρισσαίης ξείνια φαρμακίδος.

XXIV

TO THE MOTHER OF THE GODS

LEONIDAS OF TARENTUM

Δίνδυμα καὶ Φρυγίης πυρικαέος ἀμφιπολεῦσα
πρῶνας τὴν μικρήν, μῆτερ, Ἀριστοδίκην
Κούρην Σειλήνης, παμπότνια, κεὶς ὑμέναιον
κεὶς γάμον ἀδρύναις, πείρατα κουροσύνας·

Ἀνθ' ὧν σοὶ κατὰ πολλὰ προνήϊα καὶ παρὰ βωμῷ
παρθενικὴν ἐτίναξ' ἔνθα καὶ ἔνθα κόμην.

XXV

TO APHRODITE EUPLOIA

GAETULICUS

Ἀγχιάλου ῥηγμῖνος ἐπίσκοπε, σοὶ τάδε πέμπω
ψαιστία, καὶ λιτῆς δῶρα θυηπολίης·
Αὔριον Ἰονίου γὰρ ἐπὶ πλατὺ κῦμα περήσω
σπεύδων ἡμετέρης κόλπον ἐς Εἰδοθέης·
Οὔριος ἀλλ' ἐπίλαμψον ἐμῷ καὶ ἔρωτι καὶ ἱστῷ,
δεσπότι καὶ θαλάμων Κύπρι καὶ ἠϊόνων.

XXVI

TO THE GOD OF CANOPUS

CALLIMACHUS

Τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις
πλούσιον ἡ Κριτίου λύχνον ἔθηκε θεῷ,
Εὐξαμένα περὶ παιδὸς Ἀπελλίδος· ἐς δ' ἐμὰ φέγγη
ἀθρήσας φήσεις· Ἔσπερε, πῶς ἔπεσες.

XXVII

TO ISIS, WITH A TRESS OF HAIR

PALLADAS

Ἀντὶ βοὸς χρυσέου τ' ἀναθήματος Ἴσιδι τούσδε
θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους·
Ἡ δὲ θεὸς τούτοις γάνυται πλέον ἤπερ Ἀπόλλων
χρυσῷ ὃν ἐκ Λυδῶν Κροῖσος ἔπεμψε θεῷ.

XXVIII

TO HERACLES, WITH A SHIELD

HEGESIPPUS

Δέξαι μ' Ἡράκλεις Ἀρχεστράτου ἱερὸν ὅπλον,
ὄφρα ποτὶ ξεστὰν παστάδα κεκλιμένα
Γηραλέα τελέθοιμι χορῶν ἀίουσα καὶ ὕμνων·
ἀρκείτω στυγερὰ δῆρις Ἐνυαλίου.

XXIX

TO THE MILESIAN ARTEMIS

NICIAS

Μέλλον ἄρα στυγεραὶν κἀγώ ποτε δῆριν Ἄρηος
ἐκπρολιποῦσα χορῶν παρθενίων ἀΐειν
Ἀρτέμιδος περὶ ναόν, Ἐπίξενος ἔνθα μ' ἔθηκεν
λευκὸν ἐπεὶ κείνου γῆρας ἔτειρε μέλη.

XXX

TO ATHENE ERGANE

ANTIPATER OF SIDON

Κερκίδα τὰν ὀρθρινὰ χελιδονίδων ἅμα φωνᾷ
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
Τόν τε καρηβαρέοντα πολυρροίβδητον ἄτρακτον
κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας,
Καὶ πήνας, καὶ τόνδε φιληλάκατον καλαθίσκον
στάμονος ἀσκητοῦ καὶ τολύπας φύλακα,
Παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος ἁ φιλοργὸς
εἰροκόμων Κούρᾳ θήκατο δεσπότιδι.

XXXI

TO THE ORCHARD GOD

ZONAS

Αρτιχανῆ ῥοιάν τε καὶ ἀρτίχνουν τόδε μῆλον
καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον
Πορφύρεόν τε βότρυν μεθυπίδακα πυκνορρᾶγα
καὶ κάρυον χλωρῆς ἀρτίδορον λεπίδος
Ἀγροιώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ
θῆκεν ὁ καρποφύλαξ, δενδριακὴν θυσίην.

XXXII

TO DEMETER AND THE SEASONS

ZONAS

Δηοῖ λικμαίῃ καὶ ἐναυλακοφοίτισιν Ὥραις
Ἡρώναξ πενιχρῆς ἐξ ὀλιγηροσίης
Μοῖραν ἀλωΐτα στάχυος πάνσπερμά τε ταῦτα
ὄσπρι' ἐπὶ πλακίνου τοῦδ' ἔθετο τρίποδος,
Ἐκ μικρῶν ὀλίγιστα· πέπατο γὰρ οὐ μέγα τοῦτο
κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ.

XXXIII

TO THE CORN GODESS

PHILIPPUS

Δράγματά σοι χώρου μικραύλακος, ὦ φιλόπυρε
Δηοῖ, Σωσικλέης θῆκεν ἀρουροπόνος
Εὔσταχυν ἄμησας τὸν νῦν σπόρον· ἀλλὰ καὶ αὖτις
ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

XXXIV

TO THE GODS OF THE FARM

AUTHOR UNKNOWN

Αἰγιβάτῃ τόδε Πανὶ καὶ εὐκάρπῳ Διονύσῳ
καὶ Δηοῖ Χθονίῃ ξυνὸν ἔθηκα γέρας,
Αἰτέομαι δ' αὐτοὺς καλὰ πώεα καὶ καλὸν οἶνον
καὶ καλὸν ἀμῆσαι καρπὸν ἀπ' ἀσταχύων.

XXXV

TO THE WEST WIND

BACCHYLIDES

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ·
Εὐξαμένῳ γάρ οἱ ἦλθε βοαθόος, ὄφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

XXXVI

TO PAN OF THE FOUNTAIN

AUTHOR UNKNOWN

Κρημνοβάταν δίκερων Νυμφῶν ἡγήτορα Πᾶνα
ἀζόμεθ', ὃς πέτρινον τόνδε λέλογχε δόμον,
Ἵλαον ἔμμεναι ἄμμιν ὅσοι λίβα τήνδε μολόντες
ἀενάου πόματος δίψαν ἀπωσάμεθα.

XXXVII

TO PAN AND THE NYMPHS

ANYTE

Φριξοκόμᾳ τόδε Πανὶ καὶ αὐλιάσιν θέτο Νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,

Οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

XXXVIII

TO THE SHEPHERD GOD

THEOCRITUS

Δάφνις ὁ λευκόχρως, ὁ καλῇ σύριγγι μελίσδων
βουκολικοὺς ὕμνους ἄνθετο Πανὶ τάδε,
Τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν ᾗ ποτ' ἐμαλοφόρει.

XXXIX

TO PAN, BY A HUNTER, A FOWLER, AND A FISHER

ARCHIAS

Σοὶ τάδε, Πὰν σκοπιῆτα, παναίολα δῶρα σύναιμοι
τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης·
Δίκτυα μὲν Δᾶμις θηρῶν, Πίγρης δὲ πετηνῶν
λαιμοπέδας, Κλείτωρ δ' εἰναλίφοιτα λίνα·
Ὧν τὸν μὲν καὶ ἐσαῦθις ἐν ἠέρι, τὸν δ' ἔτι θείης
εὔστοχον ἐν πόντῳ, τὸν δὲ κατὰ δρυόχους.

XL

TO ARTEMIS OF THE OAKWOOD

MNASALCAS

Τοῦτο σοί, Ἄρτεμι δῖα, Κλεώνυμος εἵσατ' ἄγαλμα,
τοῦτο· σὺ δ' εὐθήρου τοῦδ' ὑπέρισχε δρίου,
Ἡιτε κατ' εἰνοσίφυλλον ὄρος ποσὶ πότνια βαίνεις
δεινὸν μαιμώσαις ἐγκονέουσα κυσίν.

XLI

TO THE GODS OF THE CHASE

CRINAGORAS

Σπήλυγγες Νυμφῶν εὐπίδακες, αἱ τόσον ὕδωρ
εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος,
Πάνος τ' ἠχήεσσα πιτυστέπτοιο καλιὴ
τὴν ὑπὸ Βασσαίης ποσσὶ λέλογχε πέτρης,
Ἱερά τ' ἀγρευταῖσι γερανδρύου ἀρκεύθοιο
πρέμνα, λιθηλογέες θ' Ἑρμέω ἱδρύσιες,
Αὐταί θ' ἱλήκοιτε καὶ εὐθήροιο δέχεσθε
Σωσάνδρου ταχινῆς σκῦλ' ἐλαφοσσοΐης.

XLII

TO ARCADIAN ARTEMIS

ANTIPATER OF SIDON

Τὰν ἔλαφον Λάδωνα καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ
νῶτά τε θηρονόμου φερβομέναν Φολόας
Παῖς ὁ Θεαρίδεω Λασιώνιος εἷλε Λυκόρμας
πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ,
Δέρμα δε καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων
σπασσάμενος, κούρᾳ θῆκε παρ' ἀγρότιδι.

XLIII

TO APOLLO, WITH A HUNTER'S BOW

PAULUS SILENTIARIUS

Ἄνδροκλος, ὤπολλον, τόδε σοι κέρας, ᾧ ἔπι πουλὺν
θῆρα βαλὼν ἄγρας εὔσκοπον εἶχε τύχην·
Οὔποτε γὰρ πλαγκτὸς γυρᾶς ἐξᾶλτο κεραίας
ἰὸς ἐπ' ἠλεμάτῳ χειρὸς ἑκηβολίᾳ.

Ὁσσάκι γὰρ τόξοιο παναγρέτις ἴαχε νευρὰ
τοσσάκις ἦν ἀγρεὺς ἠέρος ἢ ξυλόχου·
Ἀνθ' ὧν σοὶ τόδε, Φοῖβε, τὸ Λύκτιον ὅπλον ἀγινεῖ
χρυσείαις πλέξας μείλιον ἀμφιδέαις.

XLIV

TO PAN OF THE SHEPHERDS

AUTHOR UNKNOWN

Ὦ Πάν, φερβομέναις ἱερὰν φάτιν ἄπυε ποίμναις
κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων,
Ὄφρ' αἱ μὲν λευκοῖο βεβριθότα δῶρα γάλακτος
οὔθασιν ἐς Κλυμένου πυκνὰ φέρωσι δόμον,
Σοὶ δὲ καλῶς βωμοῖσι παριστάμενος πόσις αἰγῶν
φοίνιον ἐκ λασίου στήθεος αἷμ' ἐρύγῃ.

XLV

TO THE GOD OF ARCADY

AGATHIAS

Ἄσπορα, Πὰν λοφιῆτα, τάδε Στρατόνικος ἀροτρεὺς
ἀντ' εὐεργεσίης ἄνθετό σοι τεμένη·
Βόσκε δ', ἔφη, χαίρων τὰ σὰ ποίμνια καὶ σέο χώρην
δέρκεο τὴν χαλκῷ μηκέτι τεμνομένην·
Αἴσιον εὑρήσεις τὸ ἐπαύλιον· ἐνθάδε γάρ σοι
Ἠχὼ τερπομένη καὶ γάμον ἐκτελέσει.

III

EPITAPHS

I

ON THE ATHENIAN DEAD AT PLATAEA

SIMONIDES

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε Τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

II

ON THE LACEDAEMONIAN DEAD AT PLATAEA

SIMONIDES

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
Οὐ δὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

III

ON THE SPARTANS AT THERMOPYLAE

PARMENIO

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις
ναύτην ἠπείρου, πεζοπόρον πελάγους,

Ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεγεν ἄρης
Σπάρτης· αἰσχύνεσθ' οὔρεα καὶ πελάγη.

IV

ON THE SAME

SIMONIDES

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

V

ON THE DEAD IN AN UNKNOWN BATTLE

MNASALCAS

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν,
ῥυόμενοι δνοφερὰν ἀμφεβάλοντο κόνιν,
Ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
τούσδ' ἐσιδὼν θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

VI

ON THE DEFENDERS OF TEGEA

SIMONIDES

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέας,
Οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

VII

ON THE DEAD IN A BATTLE IN BOEOTIA

AUTHOR UNKNOWN

Ὦ Χρύνε παντοίων θνητοῖς πανεπίσκοπε δαῖμον,
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων,
Ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην
Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

VIII

ON A SLAIN WARRIOR

ANACREON

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

IX

ON THE SLAIN IN A BATTLE IN THESSALY

AESCHYLUS

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα πολύρρηνον πατρίδα ῥυομένους·
Ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

X

ON THE ATHENIAN DEAD AT THE BATTLE OF CHALCIS

SIMONIDES

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί· σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,

Οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα
τρηχείην πολέμου δεξάμενοι νεφέλην.

XI

ON THE ERETRIAN EXILES IN PERSIA

PLATO

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
Ἐκβατάνων πεδίῳ κείμεθα μεσσατίῳ.
Χαῖρε κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ' Ἀθῆναι
γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη.

XII

ON THE SAME

PLATO

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ γαίης ὅσσον ἀφ' ἡμετέρης.

XIII

ON AESCHYLUS

AESCHYLUS

Αἴσχυλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

XIV

ON AN EMPTY TOMB IN TRACHIS

EUPHORION

Οὐ Τρηχίς σε λίθειος ἐπ' ὀστέα λευκὰ καλύπτει
οὐδ' ἡ κυάνεον γράμμα λιχοῦσα πέτρη,

Ἀλλὰ τὰ μὲν Δολίχης τε καὶ αἰπεινῆς Δρακάνοιο
Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·
Ἀντὶ δ' ἐγὼ ξενίης Πολυμήδεος ἡ κενὴ χθὼν
ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.

XV

ON A GRAVE AT MEROË

AUTHOR UNKNOWN

Εἰς Ἀΐδην ἰθεῖα κατήλυσις εἴτ' ἀπ' Ἀθηνῶν
στείχοις εἴτε νέκυς νίσσεαι ἐκ Μερόης·
Μὴ σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα·
πάντοθεν εἷς ὁ φέρων εἰς Ἀΐδην ἄνεμος.

XVI

ON A GRAVE AT CYZICUS

ERYCIUS

Ἀτθὶς ἐγώ· κείνη γὰρ ἐμὴ πόλις· ἐκ δέ μ' Ἀθηνῶν
λοιγὸς Ἄρης Ἰταλῶν πρίν ποτ' ἐληίσατο,
Καὶ θέτο Ῥωμαίων πολιήτιδα· νῦν δὲ θανούσης
ὀστέα νησαίη Κύζικος ἠμφίασεν.
Χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
χθών με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

XVII

ON A SHIPWRECKED SAILOR

PLATO

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
ὡς ἀλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

XVIII

ON THE SAME

PLATO

Πλωτῆρες σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν,
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

XIX

ON THE SAME

THEODORIDES

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ' ἡμεῖς
ὠλόμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

XX

ON THE SAME

LEONIDAS OF TARENTUM

Εἴη ποντοπόρῳ πλόος οὔριος· ἦν δ' ἄρ' ἀήτης,
ὡς ἐμέ, τοῖς Ἀΐδεω προσπελάσῃ λιμέσιν,
Μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ' ἕο τόλμαν
ὅστις ἀφ' ἡμετέρου πείσματ' ἔλυσε τάφου.

XXI

ON THE SAME

AUTHOR UNKNOWN

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ' εἰμί,
ἀλλ' αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

XXII

ON THE SAME

CALLIMACHUS

Τίς ξένος, ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
εὗρεν ἐπ' αἰγιαλούς, χῶσε δὲ τῷδε τάφῳ
Δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
ἥσυχος, αἰθυίῃ δ' ἶσα θαλασσοπορεῖ.

XXIII

ON THE EMPTY TOMB OF ONE LOST AT SEA

GLAUCUS

Οὐ κόνις οὐδ' ὀλίγον πέτρης βάρος, ἀλλ' Ἐρασίππου
ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα τάφος·
Ὤλετο γὰρ σὺν νηῒ· τὰ δ' ὀστέα πού ποτ' ἐκείνου
πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

XXIV

ON THE SAME

SIMONIDES

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελες Ἴστρον
τῆλε καὶ ἐς Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν
Μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
ἄγκεα νιφομένας ἀμφὶ Μελουριάδος·
Νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς· οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

XXV

ON THE SAME

DAMAGETUS

Καί ποτε Θυμώδης, τὰ παρ' ἐλπίδα κήδεα κλαίων,
παιδὶ Λύκῳ κενεὸν τοῦτον ἔχευε τάφον.
Οὐδὲ γὰρ ὀθνείην ἔλαχεν κόνιν, ἀλλά τις ἀκτὴ
Θυνιάς, ἢ νήσων Ἰοντιάδων τις ἔχει,
Ἔνθ' ὅ γέ που πάντων κτερέων ἄτερ ὀστέα φαίνει
γυμνὸς ἐπ' ἀξείνου κείμενος αἰγιαλοῦ.

XXVI

ON THE SAME

LEONIDAS OF TARENTUM

Εὕρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγὶς
καὶ νὺξ καὶ δνοφερῆς κύματα πανδυσίης
Ἔβλαψ' Ὠρίωνος· ἀπώλισθον δὲ βίοιο
Κάλλαισχρος Λιβυκοῦ μέσσα θέων πελάγευς·
Κἀγὼ μὲν πόντῳ δινεύμενος ἰχθύσι κῦρμα
ὀχλεῦμαι· ψεύστης δ' οὗτος ἔπεστι λίθος.

XXVII

ON A SAILOR DROWNED IN HARBOUR

ANTIPATER OF SIDON

Πᾶσα θάλασσα θάλασσα· τί Κυκλάδας ἢ στενὸν Ἕλλης
κῦμα καὶ Ὀξείας ἠλεὰ μεμφόμεθα;
Ἄλλως τοὔνομ' ἔχουσιν· ἐπεὶ τί με τὸν προφυγόντα
κεῖνα Σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν;
Νόστιμον εὐπλοίην ἀρῶτό τις· ὡς τά γε πόντου
πόντος, ὁ τυμβευθεὶς οἶδεν Ἀρισταγόρης.

XXVIII

ON ARISTON OF CYRENE, LOST AT SEA

THEAETETUS

Ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
πάντας ὑπὲρ ξενίου λίσσεται ὕμμε Διὸς
Εἰπεῖν πατρὶ Μένωνι, παρ' Ἰκαρίαις ὅτι πέτραις
κεῖται, ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

XXIX

ON BITON OF AMPHIPOLIS, LOST AT SEA

NICAENETUS

Ἡρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην
λείπων εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
Εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
Στρυμονίης Ἐρίφων ὤλεσε πανδυσίη.

XXX

ON POLYANTHUS OF TORONE, LOST AT SEA

PHAEDIMUS

Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη
Δεξαμένη σποδιήν τε καὶ ὀστέα (τὸν δὲ δυσαὲς
ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον)
Δύσμορον ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
ξεῖνε, Τορωναίων εἵλκυσαν ἐς λιμένα.

XXXI

ON A WAYSIDE TOMB

NICIAS

Ἰζευ ὑπ' αἰγείροισιν, ἐπεὶ κάμες, ἐνθάδ', ὁδῖτα,
καὶ πῖθ' ἆσσον ἰὼν πίδακος ἁμετέρας,
Μυᾶσαι δὲ κράναν καὶ ἀπόπροθι, ἂν ἐπὶ Γίλλῳ
Σῖμος ἀποφθιμένῳ παιδὶ παριδρύεται.

XXXII

ON THE CHILDREN OF NICANDER AND LYSIDICE

AUTHOR UNKNOWN

Εἷς ὅδε Νικάνδρου τέκνων τάφος· ἓν φάος ἀοῦς
ἄνυσε τὰν ἱερὰν Λυσιδίκας γενεάν.

XXXIII

ON A BABY

AUTHOR UNKNOWN

Αρτι με γευόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων
οὐκ οἶδ' εἴτ' ἀγαθῶν αἴτιος εἴτε κακῶν·
Ἀπλήρωτ' Ἀΐδα, τί με νήπιον ἥρπασας ἐχθρῶς;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

XXXIV

ON A CHILD OF FIVE

LUCIAN

Παῖδά με πενταέτηρον ἀκηδέα θυμὸν ἔχοντα
νηλεὴς Ἀΐδης ἥρπασε Καλλίμαχον·
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

XXXV

ON A CHILD OF SEVEN

AUTHOR UNKNOWN

Ἄγγελε Φερσεφόνης Ἑρμῆ, τίνα τόνδε προπέμπεις
εἰς τὸν ἀμείδητον Τάρταρον Ἀΐδεω;
Μοῖρά τις αἰκέλιος τὸν Ἀρίστων' ἥρπασ' ἀπ' αὔρης
ἑπταετῆ, μέσσος δ' ἔστιν ὁ παῖς γενετῶν.
Δακρυχαρὴς Πλούτων, οὐ πνεύματα πάντα βρότεια
σοὶ νέμεται; τί τρυγᾷς ὄμφακας ἡλικίης;

XXXVI

ON A BOY OF TWELVE

CALLIMACHUS

Δωδεκετῆ τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

XXXVII

ON CLEOETES

AUTHOR UNKNOWN

Παιδὸς ἀποφθιμένοιο Κλεοίτου τοῦ Μενεσαίχμο
μνῆμ' ἐσορῶν οἴκτειρ', ὡς καλὸς ὢν ἔθανεν.

XXXVIII

ON A BEAUTIFUL BOY

AUTHOR UNKNOWN

Οὐ τὸ θανεῖν ἀλγεινόν, ἐπεὶ τό γε πᾶσι πέπρωται
ἀλλὰ πρὶν ἡλικίης καὶ γονέων πρότερον.
Οὐ γάμον, οὐχ ὑμέναιον ἰδών, οὐ νύμφια λέκτρα,
κεῖμαι ἔρως πολλῶν, ἐσσόμενος πλεόνων.

XXXIX

ON A BOY OF NINETEEN

AUTHOR UNKNOWN

Χαίρειν τὸν κατὰ γᾶς εἴπας, ξένε, Διογένη με
βαῖν' ἐπὶ σὰν πρᾶξιν τύγχανέ θ' ὧν ἐθέλεις·
Ἐννεακαιδεκετὴς γὰρ ὑπὸ στυγερᾶς ἐδαμάσθην
νούσου καὶ λείπω τὸν γλυκὺν ἀέλιον.

XL

ON A SON, BY HIS FATHER

PHANIAS

Ἡρίον οὐκ ἐπὶ πατρί, πολυκλαύτου δ' ἐπὶ παιδὸς
Λῦσις ἄχει κενεὴν τήνδ' ἀνέχωσε κόνιν,
Οὔνομα ταρχύσας, ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
ἤλυθε δυστήνου λείψανα Μαντιθέου.

XLI

ON A SON, BY HIS MOTHER

DIOTIMUS

Τί πλέον εἰς ὠδῖνα πονεῖν, τί δὲ τέκνα τεκέσθαι;
μὴ τέκοι ἢ μέλλει παιδὸς ὁρᾶν θάνατον.
Ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ,
ἔπρεπε δ' ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.

XLII

ON A GIRL

CALLIMACHUS

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν
δίζηνται Σαμίων πολλάκι θυγατέρες,

Ἡδίστην συνέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.

XLIII

ON A BETROTHED GIRL

ERINNA

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν, τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδα·
Βάσκανος ἔσσ' Ἀΐδα· τάδε θ' οἵ κα σάμαθ' ὁρῶντι
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
Ὡς τὰν παῖδ', Ὑμέναιος ὑφ' ἃς εἰσήγετο πεύκας,
τάνδ' ἔπι καδεστὰς ἔφλεγε πυρκαϊᾶς,
Καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
ἐς θρήνων γοερῶν φθέγμα μεθηρμόσαο.

XLIV

ON THE SAME

ANTIPATER OF THESSALONICA

Αὐσονίη με Λίβυσσαν ἔχει κόνις, ἄγχι δὲ Ῥώμης
κεῖμαι παρθενικὴ τῇδε παρὰ ψαμάθῳ,
Ἡ δέ με θρεψαμένη Πομπηΐη ἀντὶ θυγατρὸς
κλαυσαμένη τύμβῳ θῆκεν ἐλευθερίῳ
Πῦρ ἕτερον σπεύδουσα· τὸ δ' ἔφθασεν, οὐδὲ κατ' εὐχὴν
ἡμετέραν ἧψεν λαμπάδα Περσεφόνη.

XLV

ON A SINGING-GIRL

AUTHOR UNKNOWN

Τὴν κυανῶπιν Μοῦσαν, ἀηδόνα τῆν μελίγηρυν,
λιτὸς ὅδ' ἐξαπίνης τύμβος ἄναυδον ἔχει,

Καὶ κεῖται λίθος ὡς ἡ πάνσοφος, ἡ περίβωτος·
Μοῦσα καλή, κούφη σοὶ κόνις ἥδε πέλοι.

XLVI

ON CLAUDIA HOMONOEA

AUTHOR UNKNOWN

Ἡ πολὺ Σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχῳ
καὶ θοίναις αὐτῆς χρυσοτέρη Κύπριδος,
Ἡ λαλίη φαιδρή τε χελιδονίς, ἔνθ' Ὁμόνοια
κεῖμαι, Ἀτιμήτῳ δάκρυα λειπομένη
Τῷ πέλον ἀσπασίη βαιῆς ἄπο· τὴν δὲ τοσαύτην
δαίμων ἀπροϊδὴς ἐσκέδασεν φιλίην.

XLVII

ON PAULA OF TARENTUM

DIODORUS

Ἴστω νυκτὸς ἐμῆς ἅ με κέκρυφεν οἰκία ταῦτα
λάϊνα, Κωκυτοῦ τ' ἀμφιγόητον ὕδωρ,
Οὔτι μ' ἀνήρ, ὃ λέγουσι, κατέκτανεν ἐς γάμον ἄλλης
παπταίνων· τί μάτην οὔνομα Ῥουφίνιος;
Ἀλλά με Κῆρες ἄγουσι μεμορμέναι· οὐ μία δήπου
Παῦλα Ταραντίνη κάτθανεν ὠκύμορος.

XLVIII

ON A MOTHER, DEAD IN CHILDBIRTH

DIODORUS

Αἴλινον ὠκυμόρῳ με λεχωΐδι τοῦτο κεκόφθαι
τῆς Διοδωρείου γράμμα λέγει σοφίης,

Κοῦρον ἐπεὶ τίκτουσα κατέφθιτο· παῖδα δὲ Μηλοῦς
δεξάμενος θαλερὴν κλαίω Ἀθηναΐδα
Λεσβιάδεσσιν ἄχος καὶ Ἰήσονι πατρὶ λιποῦσαν·
Ἄρτεμι, σοὶ δὲ κυνῶν θηροφόνων ἔμελεν.

XLIX

ON A MOTHER OF EIGHTEEN, AND HER BABY

AUTHOR UNKNOWN

Ἀρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτου
παῖδα καὶ αἰνοπαθοῦς ἔννεπε Δημαρέτης,
Ὅσσον ἐπ' ὠδῖσιν καὶ μητέρα· παῖδα δὲ δαίμων
ἔφθασεν οὐδ' αὐτῶν εἴκοσιν ἠελίων·
Ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
ἄρτι δὲ καὶ νύμφη, παντολιγοχρόνιος.

L

ON A YOUNG WIFE

AUTHOR UNKNOWN

Τὴν σεμνῶς ζήσασαν ἀμώμητόν τε σύνευνον
Παυλῖναν φθιμένην ἐννεακαιδέκ' ἐτῶν
Ἀνδρώνικος ἰητρὸς ἀνὴρ μνημήϊα τίνων
τήνδε πανυστατίην στήσατο μαρτυρίην.

LI

ON ATTHIS OF CNIDOS

AUTHOR UNKNOWN

Ἄτθις ἐμοὶ ζήσασα καὶ εἰς ἐμὲ πνεῦμα λιποῦσα,
ὡς πάρος εὐφροσύνης νῦν δακρύων πρόφασι,
Ἁγνά, πουλυγόητε, τί πένθιμον ὕπνον ἰαύεις
ἀνδρὸς ἀπὸ στέρνων οὔποτε θεῖσα κάρα,

Θεῖον ἐρημώσασα τὸν οὐκέτι· σοὶ γὰρ ἐς Ἅιδαν
ἦλθον ὁμοῦ ζωᾶς ἐλπίδες ἁμετέρας.

LII

ON PREXO, WIFE OF THEOCRITUS OF SAMOS

LEONIDAS OF TARENTUM

Τίς τίνος εὖσα, γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
Πρηξὼ Καλλιτέλευς. καὶ ποδαπή; Σαμίη.
Τίς δέ σε καὶ κτερέϊξε; Θεόκριτος, ᾧ με γονῆες
ἐξέδοσαν. θνήσκεις δ' ἐκ τίνος; ἐκ τοκετοῦ.
Εὖσα πόσων ἐτέων; δύο κεἴκοσιν. ἦ ῥά γ' ἄτεκνος;
οὐκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
Ζώοι σοὶ κεῖνός γε καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
καὶ σοί, ξεῖνε, πόροι πάντα Τύχη τὰ καλά.

LIII

ON AMAZONIA OF THESSALONICA

AUTHOR UNKNOWN

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
Λῆγε γόων καὶ παῦε πόσις, καὶ παῖδες ἐμεῖο
χαίρετε καὶ μνήμην σώζετ' Ἀμαζονίης.

LIV

ON A LACEDAEMONIAN NURSE

AUTHOR UNKNOWN

Ἐνθάδε γῆ κατέχει τίτθην παίδων Διογείτου
ἐκ Πελοποννήσου τήνδε δικαιοτάτην.

LV

ON A LYDIAN SLAVE

DIOSCORIDES

Λυδὸς ἐγώ, ναὶ Λυδός, ἐλευθερίῳ δέ με τύμβῳ,
δέσποτα, Τιμάνθη τὸν σὸν ἔθευ τροφέα·
Εὐαίων ἀσινῆ τείνοις βίον· ἦν δ' ὑπὸ γήρως
πρός με μόλῃς, σὸς ἐγώ, δέσποτα, κὴν Ἀΐδῃ.

LVI

ON A PERSIAN SLAVE

AUTHOR UNKNOWN

Σοὶ καὶ νῦν ὑπὸ γῆν, ναὶ δέσποτα, πιστὸς ὑπάρχω,
ὡς πάρος, εὐνοίης οὐκ ἐπιληθόμενος
Ὥς με τότ' ἐκ νούσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ,
Μάνην ἀγγείλας, Πέρσην γένος· εὖ δέ με ῥέξας
ἕξεις ἐν χρείῃ δμῶας ἑτοιμοτέρους.

LVII

ON A FAVOURITE DOG

AUTHOR UNKNOWN

Τὴν τρίβον ὃς παράγεις, ἄν πως τόδε σῆμα νοήσῃς
μή, δέομαι, γελάσῃς εἰ κυνός ἐστι τάφος·
Ἐκλαύσθην· χεῖρες δὲ κόνιν συνέθηκαν ἄνακτος
ὅς μου καὶ στήλῃ τόνδ' ἐχάραξε λόγον.

LVIII

ON A MALTESE WATCH-DOG

TYMNES

Τῇδε τὸν ἐκ Μελίτης ἀργὸν κύνα φησὶν ὁ πέτρος
ἴσχειν, Εὐμήλου πιστότατον φύλακα·
Ταῦρόν μιν καλέεσκον, ὅτ' ἦν ἔτι· νῦν δὲ τὸ κείνου
φθέγμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

LIX

ON A GRASSHOPPER

PHAENNUS

Δαμοκρίτῳ μὲν ἐγώ, λιγυρὰν ὅκα μοῦσαν ἀνείην
ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ἆγον ὕπνον·
Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδῖτα,
ἐγγύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.

LX

ON A TAME PARTRIDGE

AGATHIAS

Οὐκέτι που τλῆμον σκοπέλων μετανάστρια πέρδιξ
πλεκτὸς λεπταλέαις οἶκος ἔχει σὲ λύγοις,
Οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος Ἠριγενείης
ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων·
Σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε, τἆλλα δὲ πάντα
ἥρπασα, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν·
Νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
μὴ τὸ τεὸν κείνη λείψανον ἐξερύσῃ.

LXI

ON A THESSALIAN HOUND

SIMONIDES

Ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἀγρῶστι Λυκάς·
Τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον, ἅ τ' ἀρίδηλος
Ὄσσα, Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί.

LXII

ON CHARIDAS OF CYRENE

CALLIMACHUS

Ἦ ῥ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; εἰ τὸν Ἀρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
Ὦ Χαρίδα, τί τὰ νέρθε; πολὺς σκότος. αἱ δ' ἄνοδοι τί;
ψεῦδος. ὁ δὲ Πλούτων; μῦθος· ἀπωλόμεθα.

LXIII

ON THEOGNIS OF SINOPE

SIMONIDES

Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.

LXIV

ON A DEAD FRIEND

AUTHOR UNKNOWN

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
ἡ λίθος ἡ μικρὴ τῆς μεγάλης φιλίης·

Αἰεὶ ζητήσω σέ· σὺ δ', εἰ θέμις ἐν φθιμένοισιν,
τοῦ Λήθης ἐπ' ἐμοὶ μή τι πίῃς ὕδατος.

LXV

ON AN UNHAPPY MAN

AUTHOR UNKNOWN

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι
Ταρσεύς, μὴ γήμας· αἴθε δὲ μήδ' ὁ πατήρ.

LXVI

ON A CRETAN MERCHANT

SIMONIDES

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι
οὐ κατὰ τοῦτ' ἐλθών, ἀλλὰ κατ' ἐμπορίαν.

LXVII

ON SAON OF ACANTHUS

CALLIMACHUS

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

IV

LITERATURE AND ART

I

THE GROVE OF THE MUSES

AUTHOR UNKNOWN

Ἄλσος μὲν Μούσαις ἱερὸν λέγε τοῦτ' ἀνακεῖσθαι
τὰς βίβλους δείξας τὰς παρὰ ταῖς πλατάνοις
Ἡμᾶς δὲ φρουρεῖν· κἢν γνήσιος ἐνθάδ' ἐραστὴς
ἔλθῃ, τῷ κισσῷ τοῦτον ἀναστέφομεν.

II

THE VOICE OF THE WORLD

ANTIPATER OF SIDON

Ἡρώων κάρυκ' ἀρετᾶς μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτῇ δεύτερον ἀέλιον,
Μουσῶν φέγγος Ὅμηρον, ἀγήραντον στόμα κόσμου
παντός, ἅλιρροθία, ξεῖνε, κέκευθε κόνις.

III

THE TALE OF TROY

ALPHEUS

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰσέτι Τροίην
δερκόμεθ' ἐκ βάθρων πᾶσαν ἐρειπομένην

Καὶ μόθον Αἰάντειον, ὑπὸ στεφάνῃ τε πόληος
ἔκδετον ἐξ ἵππων Ἕκτορα συρόμενον
Μαιονίδεω διὰ Μοῦσαν, ὃν οὐ μία πατρὶς ἀοιδὸν
κοσμεῖται, γαίης δ' ἀμφοτέρης κλίματα.

IV

ORPHEUS

ANTIPATER OF SIDON

Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας,
Οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα·
Ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
Τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἀνίκ' ἀλαλκεῖν
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις ;

V

SAPPHO

POSIDIPPUS

Δωρίχα, ὀστέα μὲν σὰ πάλαι κόνις, ἠδ' ἀπόδεσμος
χαίτης ἥ τε μύρων ἔμπνοος ἀμπεχόνη,
Ἥι ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον
σύγχρους ὀρθρινῶν ἥψαο κισσυβίων·
Σαπφῶαι δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν
ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες
Οὔνομα σὸν μακαριστόν, ὃ Ναύκρατις ὧδε φυλάξει
ἔστ' ἂν ἵκη Νείλου ναῦς ἔφαλος τενάγη.

VI

ERINNA (1)

AUTHOR UNKNOWN

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
Ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα λινοκλώστου δεσπότις ἠλακάτας·
Σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσιν.

VII

ERINNA (2)

LEONIDAS OF TARENTUM

Παρθενικὴν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Ἤρινναν Μουσῶν ἄνθεα δρεπτομέναν
Ἅιδας εἰς ὑμέναιον ἀνάρπασεν· ἦ ῥα τόδ' ἔμφρων
εἶπ' ἐτύμως ἁ παῖς· βάσκανος ἔσσ' Ἀΐδα.

VIII

ANACREON'S GRAVE (1)

AUTHOR UNKNOWN

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

IX

ANACREON'S GRAVE (2)

ANTIPATER OF SIDON

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,

Σπεῖσον ἐμῇ σποδιῇ, σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα,
Ὡς ὁ Διωνύσου μεμελημένος οἰνάσι κώμοις,
ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης,
Μηδὲ καταφθίμενος Βάκχου δίχα τοῦτον ὑποίσω
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.

X

PINDAR

ANTIPATER OF SIDON

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν
τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς,
Οὐδὲ μάτην ἁπαλοῖς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι·
Μάρτυς ὁ Μαινάλιος κερόεις θεός, ὕμνον ἀείσας
τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

XI

THESPIS

DIOSCORIDES

Θέσπις ὅδε, τραγικὴν ὃς ἀνέπλασα πρῶτος ἀοιδὴν
κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
Βάκχος ὅτε τρυγικὸν κατάγοι χορόν, ᾧ τράγος ἄθλων
χώττικὸς ἦν σύκων ἄρριχος ἆθλον ἔτι·
Οἱ δὲ μεταπλάσσουσι νέοι τάδε· μυρίος αἰὼν
πολλὰ προσευρήσει χἄτερα· τἀμὰ δ' ἐμά.

XII

SOPHOCLES

SIMMIAS

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
ἑρπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους,
Καὶ πεταλὸν πάντη θάλλοι ῥόδου, ἥ τε φιλορρὼξ
ἄμπελος ὑγρὰ πέριξ κλήματα χευαμένη
Εἵνεκεν εὐεπίης πινυτόφρονος ἣν ὁ μελιχρὸς
ἤσκησ' ἐκ Μουσῶν ἄμμιγα καὶ Χαρίτων.

XIII

EURIPIDES

THUCYDIDES

Μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου· ὀστέα δ' ἴσχει
γῆ Μακεδών· ἡ γὰρ δέξατο τέρμα βίου·
Πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

XIV

ARISTOPHANES

PLATO

Αἱ Χάριτες τέμενός τι λαβεῖν ὅπερ οὐχὶ πεσεῖται
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

XV

RHINTHO

NOSSIS

Καὶ καπυρὸν γελάσας παραμείβεο καὶ φίλον εἰπὼν
ῥῆμ' ἐπ' ἐμοί· Ῥίνθων εἶμ' ὁ Συρακόσιος,

Μουσάων ὀλίγη τις ἀηδονίς, ἀλλὰ φλυάκων
ἐκ τραγικῶν ἴδιον κισσὸν ἐδρεψάμεθα.

XVI

MELEAGER (1)

MELEAGER

Ἀτρέμας, ὦ ξένε, βαῖνε· παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
εὕδει κοιμηθεὶς ὕπνον ὀφειλόμενον
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα
καὶ Μούσας ἱλαραῖς συστολίσας Χάρισιν·
Ὃν θεόπαις ἤνδρωσε Τύρος Γαδάρων θ' ἱερὰ χθών,
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει·
Ἀλλ' εἰ μὲν Σύρος ἐσσί, σαλάμ, εἰ δ' οὖν σύ γε Φοίνιξ,
ναιδιός, εἰ δ' Ἕλλην, χαῖρε, τὸ δ' αὐτὸ φράσον.

XVII

MELEAGER (2)

MELEAGER

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος, πάτρα δέ με τεκνοῖ
Ἄτθις ἐν Ἀσσυρίοις ναιομένα Γαδάροις,
Εὐκράτεω δ' ἔβλαστον, ὁ σὺν Μούσαις Μελέαγρος
πρῶτα Μενιππείαις συντροχάσας Χάρισιν.
Εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν, ξένε, πατρίδα κόσμον
ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε Χάος.
Πουλυετὴς δ' ἐχάραξα τάδ' ἐν δέλτοισι πρὸ τύμβου·
γήρως γὰρ γείτων ἐγγύθεν Ἀΐδεω.
Ἀλλά με τὸν λαλιὸν καὶ πρεσβύτην σὺ προσειπὼν
χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.

XVIII

PYLADES THE HARP-PLAYER

ALCAEUS OF MESSENE

Πᾶσα σοὶ οἰχομένῳ, Πυλάδη, κωκύεται Ἑλλάς,
ἄπλεκτον χαίταν ἐν χροΐ κειραμένα,
Αὐτὸς δ' ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
Φοῖβος ἑὸν τιμῶν ᾗ θέμις ὑμνοπόλον,
Μοῦσαι δ' ἐκλαύσαντο, ῥόον δ' ἔστησεν ἀκούων
Ἀσωπὸς γοερῶν ἦχον ἀπὸ στομάτων,
Ἔλληξεν δὲ μέλαθρα Διωνύσοιο χορείης,
εὖτε σιδηρείην οἶμον ἔβης Ἀΐδεω.

XIX

THE DEATH OF MUSIC

LEONTIUS

Ὀρφέος οἰχομένου τάχα τις τότε λείπετο Μοῦσα,
σεῦ δέ, Πλάτων, φθιμένου παύσατο καὶ κιθάρη·
Ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀπορρὼξ
ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.

XX

APOLLO AND MARSYAS (1)

ALCAEUS OF MESSENE

Οὐκέτ' ἀνὰ Φρυγίην πιτυοτρόφον ὥς ποτε μέλψεις
κροῦμα δι' εὐτρήτων φθεγγόμενος δονάκων,
Οὐδ' ἐνὶ σαῖς παλάμαις Τριτωνίδος ἔργον Ἀθάνας
ὡς πρὶν ἐπανθήσει, νυμφογενὲς Σάτυρε·

Δὴ γὰρ ἀλυκτοπέδαις σφίγγῃ χέρας οὕνεκα Φοίβῳ
θνατὸς ἐὼν θείαν εἰς ἔριν ἠντίασας,
Λωτοὶ δ' οἱ κλάζοντες ἴσον φόρμιγγι μελιχρὸν
ὤπασαν ἐξ ἄθλων οὐ στέφος ἀλλ' Ἀΐδαν.

XXI

APOLLO AND MARSYAS (2)

ARCHIAS

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις,
τλᾶμον, ἀορτηθεὶς ἐκ λασίας πίτυος,
Αἰωρῇ, Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης
πρῶνα Κελαινίτην ναιετάων Σάτυρε·
Σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκέτι Νύμφαι
ὡς πάρος ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

XXII

GLAPHYRUS THE FLUTE-PLAYER

ANTIPATER OF THESSALONICA

Ἵμερον αὐλήσαντι πολυτρήτων διὰ λωτῶν
εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ Γλαφύρῳ·
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα, τοὺς γὰρ Ἀθήνης
αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληΐσατο,
Εἰ δὲ σὺ τοιούτοις τότ' ἐνέπνεες, οὐκ ἂν Ὑαγνις
τὴν ἐπὶ Μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

XXIII

VIOL AND FLUTE

THEOCRITUS

Λῆς ποτὶ τᾶν Μοισᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τί μοι ; κἠγὼ πακτίδ' ἀειράμενος

Ἀρξεῦμαί τι κρέκειν· ὁ δὲ βωκόλος ἄμμιγα θελξεῖ
Δάφνις καροδέτῳ πνεύματι μελπόμενος·
Ἐγγὺς δὲ στάντες λασιαύχενος ἔνδοθεν ἄντρου
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.

XXIV

POPULAR SONGS

LUCILIUS

Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος· οἱ κατὰ γαῖαν
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·
Καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσίπεντε νόμων.
Νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῖ τις ἀπέλθῃ
λοιπόν, ἐπεὶ χᾷδην Εὐτυχίδης κατέχει;

XXV

CALAMUS

AUTHOR UNKNOWN

Ἥμην ἀχρεῖον κάλαμος φυτόν, ἐκ γὰρ ἐμεῦο
οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ σταφυλή·
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικώνια, λεπτὰ τορήσας
χείλεα καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος,
Ἐκ δὲ τοῦ εὖτε πίοιμι μέλαν ποτόν, ἔνθεος οἷα
πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λαλῶ στόματι.

XXVI

IN THE CLASSROOM

CALLIMACHUS

Εὐμαθίην ᾐτεῖτο διδοὺς ἐμὲ Σίμος ὁ Μίκκου
ταῖς Μούσαις· αἱ δέ, Γλαῦκος ὅκως, ἔδοσαν

Ἀντ' ὀλίγου μέγα δῶρον· ἐγὼ δ' ἀνὰ τήνδε κεχηνὼς
κεῖμαι τοῦ Σαμίου διπλόον ὁ τραγικὸς
Παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν
ἱερὸς ὁ πλόκαμος, τοὐμὸν ὄνειαρ ἐμοί.

XXVII

THE POOR SCHOLAR

ARISTON

Ὦ μύες, εἰ μὲν ἐπ' ἄρτον ἐληλύθατ' ἐς μυχὸν ἄλλον
στείχετ' (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)
Οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε καὶ αὔην
ἰσχάδα καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων·
Εἰ δ' ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ' ὀδόντα,
κλαύσεσθ' οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

XXVIII

THE PHAEDO OF PLATO

AUTHOR UNKNOWN

Εἴ με Πλάτων οὐ γράψε δύω ἐγένοντο Πλάτωνε·
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω·
Ἀλλὰ νόθον μ' ἐτέλεσσε Παναίτιος· ὅς ῥ' ἐτέλεσσε
καὶ ψυχὴν θνητήν, κἀμὲ νόθον τελέσει.

XXIX

CLEOMBROTUS OF AMBRACIA

CALLIMACHUS

Εἴπας ἥλιε χαῖρε Κλεόμβροτος ὠμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδαν,

Ἄξιον οὐδὲν ἰδὼν θανάτου κακὸν ἢ τὸ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

XXX

THE DEAD SCHOLAR

CALLIMACHUS

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν που,
ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή,
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες ᾗσιν ὁ πάντων
ἁρπακτὴρ Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

XXXI

ALEXANDRIANISM

CALLIMACHUS

Ἐχθαίρω τὸ ποίημα τὸ κυκλικόν, οὐδὲ κελεύθῳ
χαίρω, τίς πολλοὺς ὧδε καὶ ὧδε φέρει·
Μισῶ καὶ περίφοιτον ἐρώμενον, οὔτ' ἀπὸ κρήνης
πίνω· σικχαίνω πάντα τὰ δημόσια.

XXXII

SPECIES AETERNITATIS

PTOLEMAEUS

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος· ἀλλ' ὅταν ἄστρων
μαστεύω πυκινὰς ἀμφιδρόμους ἕλικας
Οὐκέτ' ἐπιψαύω γαίης ποσίν, ἀλλὰ παρ' αὐτῷ
Ζανὶ θεοτρεφέος πίμπλαμαι ἀμβροσίης.

XXXIII

THE PASTORAL POETS

ARTEMIDORUS

Βωκολικαὶ Μοῖσαι σποράδες ποκά· νῦν δ' ἅμα πᾶσαι
ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας.

XXXIV

ON THE PORTRAIT OF A GIRL

ERINNA

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα· λῷστε Προμαθεῦ,
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
Ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν
αἰ καὐδὰν ποτέθηκ', ἧς κ' Ἀγαθαρχὶς ὅλα.

XXXV

ON A RELIEF OF EROS AND ANTEROS

AUTHOR UNKNOWN

Πτανῷ πτανὸν Ἔρωτα καταντίον ἔπλασ' Ἔρωτι
ἁ Νέμεσις, τόξῳ τόξον ἀμυνομένα,
Ὅς κε πάθῃ τά γ' ἔρεξεν· ὁ δὲ θρασύς, ὁ πρὶν ἀταρβὴς
δακρύει πικρῶν γευσάμενος βελέων
Ἐς δὲ βαθὺν τρὶς κόλπον ἀπέπτυσεν· ἃ μέγα θαῦμα·
φλέξει τις πυρὶ πῦρ· ἥψατ' Ἔρωτος Ἔρως.

XXXVI

ON A LOVE BREAKING THE THUNDERBOLT

AUTHOR UNKNOWN

Ὁ πτανὸς τὸν πτανὸν ἴδ' ὡς ἄγνυσι κεραυνόν,
δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐστιν, Ἔρως.

XXXVII

ON A LOVE PLOUGHING

MOSCHUS

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην,
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον,
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διί· πλῆσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

XXXVIII

ON A PAN PIPING

ARABIUS

Ἦν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν,
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ,
Ἀλλ' ὁρόων φεύγουσαν ἀμήχανος ἄστατον Ἠχὼ
πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

XXXIX

ON A STATUE OF THE ARMED VENUS

AUTHOR UNKNOWN

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον ἔειπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα ;

Ἡ δ' ἁπαλὸν γελάσασα· τί μοι σάκος ἀντίον αἴρειν ;
εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω ;

XL

ON THE CNIDIAN VENUS OF PRAXITELES

AUTHOR UNKNOWN

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης ;

XLI

ON A SLEEPING ARIADNE

AUTHOR UNKNOWN

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας
μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

XLII

ON A NIOBE BY PRAXITELES

AUTHOR UNKNOWN

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

XLIII

ON A PICTURE OF A FAUN

AGATHIAS

Αὐτομάτως, Σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει
ἢ τί παρακλίνας οὖας ἄγεις καλάμῳ ;

Ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον
ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι·
Οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγὴν
θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

XLIV

ON THE HEIFER OF MYRON

AUTHOR UNKNOWN

Φεῦ σὺ Μύρων πλάσσας οὐκ ἔφθασας, ἀλλὰ σὲ χαλκὸς
πρὶν ψυχὴν βαλέειν ἔφθασε πηγνύμενος.

XLV

ON A SLEEPING SATYR

PLATO

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

XLVI

ON THE TEMPLE OF THE EPHESIAN ARTEMIS

ANTIPATER OF SIDON

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος
καὶ τὸν ἐπ' Ἀλφείῳ Ζᾶνα κατηυγασάμην,
Κάπων τ' αἰώρημα, καὶ Ἠελίοιο κολοσσόν,
καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,
Μνᾶμά τε Μαυσώλοιο πελώριον· ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον
Κεῖνα μὲν ἠμαύρωσ' ὅδε, κἠνίδε νόσφιν Ὀλύμπου
Ἅλιος οὐδέν πω τοῖον ἐπηυγάσατο.

XLVII

THE LIMIT OF ART

PARRHASIUS

Εἰ καὶ ἄπιστα κλύουσι λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
Χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος· ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.

V

RELIGION

I

WORSHIP IN SPRING (1)

THEAETETUS SCHOLASTICUS

Ἤδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
λήϊον ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων,
Ἤδη ἐπ' ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
μουσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην,
Καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδὼν
ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις,
Ὑπνώει δὲ θάλασσα φιλοζεφύροιο γαλήνης
νηοφόροις νώτοις εὔδια πεπταμένης,
Οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη·
Ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι Πριήπῳ
τευθίδος ἢ τρίγλης ἀνθεμόεσσαν ἴτυν,
Ἢ σκάρον αὐδήεντα παραὶ βωμοῖσι πυρώσας
ἄτρομος Ἰονίου τέρμα θαλασσοπόρει.

II

WORSHIP IN SPRING (2)

AGATHIAS

Εὔδια μὲν πόντος πορφύρεται· οὐ γὰρ ἰήτης
κύματα λευκαίνει φρικὶ χαρασσόμενα,

Οὐκέτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα
ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται·
Οἱ ζέφυροι πνείουσιν, ἐπιτρύζει δὲ χελιδὼν
κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
Θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν
κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην·
Μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
ἢ σκάρον ἢ βῶκας φλέξον ἐρευθομένους.

III

ZEUS OF THE FAIR WIND

AUTHOR UNKNOWN

Οὔριον ἐκ πρύμνης τις ὁδηγητῆρα καλείτω
Ζῆνα κατὰ προτόνων ἱστίον ἐκπετάσας·
Εἴτ' ἐπὶ Κυανέας δίνας δρόμος, ἔνθα Ποσειδῶν
κάμπυλον εἰλίσσει κῦμα παρὰ ψαμάθοις,
Εἴτε κατ' Αἰγαίην πόντου πλάκα νόστον ἐρευνᾷ,
νείσθω τῷδε βαλὼν ψαιστὰ παρὰ ξοάνῳ·
Ὧδε τὸν εὐάντητον ἀεὶ θεὸν Ἀντιπάτρου παῖς
στῆσε Φίλων ἀγαθῆς σύμβολον εὐπλοίης.

IV

THE HOLY CITY

MACEDONIUS

Τμώλῳ ὑπ' ἀνθεμόεντι ῥοὴν πάρα Μαίονος Ἕρμου
Σάρδιες ἡ Λυδῶν ἔξοχός εἰμι πόλις.
Μάρτυς ἐγὼ πρώτη γενόμην Διός, οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα Ῥέης ἤθελον ἡμετέρης·
Αὐτὴ καὶ Βρομίῳ γενόμην τροφός, ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον·

Πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνάδ' ὀπώρην
οὔθατος ἐκ βοτρύων ξανθὸς ἄμελξε θεός.
Πάντα με κοσμήσαντο, πολὺς δέ με πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

V

HERMES OF THE WAYS

AUTHOR UNKNOWN

Τῇδ' ὑπὸ τὴν ἄρκευθον ἴτ' ἀμπαύοντες, ὁδῖται,
γυῖα παρ' Ἑρμείᾳ σμικρὸν ὁδοῦ φύλακι,
Μὴ φύρδαν, ὅσσοι δὲ βαρεῖ γόνυ κάμνετε μόχθῳ
καὶ δίψᾳ δολιχὰν οἶμον ἀνυσσάμενοι·
Πνοιὴ γὰρ καὶ θῶκος ἐΰσκιος, ἄ θ' ὑπὸ πέτρᾳ
πίδαξ εὐνήσει γυιοβαρῆ κάματον,
Ἔνδιον δὲ φυγόντες ὀπωρινοῦ κυνὸς ἄσθμα,
ὡς θέμις, Ἑρμείην εἰνόδιον τίετε.

VI

SACRED NURSERIES OF YOUTH

NICIAS

Εἰνοσίφυλλον ὄρος Κυλλήνιον αἰπὺ λελογχὼς
τῇδ' ἕστηκ' ἐρατοῦ γυμνασίου μεδέων
Ἑρμῆς, ᾧ ἔπι παῖδες ἀμάρακον ἠδ' ὑάκινθον
πολλάκι, καὶ θαλεροὺς θῆκαν ἴων στεφάνους.

VII

PAN OF THE SEA-CLIFF

ARCHIAS

Πᾶνά με τόνδ' ἱερῆς ἐπὶ λισσάδος, αἰγιαλίτην
Πᾶνα, τὸν εὐόρμων τῇδ' ἔφορον λιμένων,

Οἱ γριπῆες ἔθεντο· μέλω δ' ἐγὼ ἄλλοτε κύρτοις
ἄλλοτε δ' αἰγιαλοῦ τοῦδε σαγηνοβόλοις·
Ἀλλὰ παράπλει, ξεῖνε, σέθεν δ' ἐγὼ οὕνεκα ταύτης
εὐποίης πέμψω πρηὺν ὄπισθε νότον.

VIII

THE SPIRIT OF THE SEA

ARCHIAS

Βαιὸς ἰδεῖν ὁ Πρίηπος ἐπαιγιαλίτιδα ναίω
χηλήν, Βιθύνας νάσου ἐναντιπέρας,
Φοξός, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ' ἀκταῖς
ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων·
Ἀλλ' ἤν τις γριπεύς με βοηθόον ἢ καλαμευτὴς
φωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος·
Λεύσσω καὶ τὰ θέοντα καθ' ὕδατος· ἢ γὰρ ἀπ' ἔργων
δαίμονες, οὐ μορφᾶς γνωστὸν ἔχουσι τύπον.

IX

THE GUARDIAN OF THE CHASE

SATYRUS

Εἴτε σύ γ' ὀρνεόφοιτον ὑπὲρ καλαμῖδα παλύνας
ἰξῷ ὀρειβατέεις, εἴτε λαγοκτονέεις,
Πᾶνα κάλει· κυνὶ Πὰν λασίου ποδὸς ἴχνια φαινει,
σύνθεσιν ἀκλινέων Πὰν ἀνάγει καλάμων.

X

THE HUNTER GOD

LEONIDAS OF TARENTUM

Εὐάγρει λαγόθηρα, καὶ εἰ πετεεινὰ διώκων
ἰξευτὴς ἥκεις τοῦθ' ὑπὸ δισσὸν ὄρος,

Κἀμὲ τὸν ὑληωρὸν ἀπὸ κρημνοῖο βόασον
Πᾶνα· συναγρεύω καὶ κυσὶ καὶ καλάμοις.

XI

FORTUNA PARVULORUM

PERSES

Κἀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃς
εὐκαίρως, τεύξῃ· μὴ μεγάλων δὲ γλίχου·
Ὡς ἅ γε δημοτέρων δύναται θεὸς ἀνδρὶ πενέστῃ
δωρεῖσθαι, τούτων κύριός εἰμι Τύχων.

XII

THE PRAYERS OF THE SAINTS

ADDAEUS

Ἦν παρίῃς ἥρωα, Φιλοπρήγμων δὲ καλεῖται,
πρόσθε Ποτιδαίης κείμενον ἐν τριόδῳ,
Εἰπεῖν οἷον ἐπ' ἔργον ἄγεις πόδας· εὐθὺς ἐκεῖνος
εὑρήσει σὺν σοὶ πρήξιος εὐκολίην.

XIII

SAVED BY FAITH

LEONIDAS OF TARENTUM

Τὴν μικρήν με λέγουσι, καὶ οὐκ ἴσα ποντοπορεύσαις
ναυσὶ διϊθύνειν ἄτρομον εὐπλοΐην,
Οὐκ ἀπόφημι δ' ἐγώ· βραχὺ μὲν σκάφος· ἀλλὰ θαλάσσῃ
πᾶν ἴσον· οὐ μέτρων ἡ κρίσις ἀλλὰ τύχης.

Ἔστω πηδαλίοις ἑτέρῃ πλέον· ἄλλο γὰρ ἄλλῃ
θάρσος· ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

XIV

THE SERVICE OF GOD

AUTHOR UNKNOWN

Τὴν Διὸς ἀμφίπολόν με Χελιδόνα, τὴν ἐπὶ βωμοῖς
σπένδειν ἀθανάτων γρῆϋν ἐπισταμένην,
Εὔτεκνον, ἀστονάχητον, ἔχει τάφος· οὐ γὰρ ἀμαυρῶς
δαίμονες ἡμετέρην ἔβλεπον εὐσεβίην.

XV

BEATI MUNDO CORDE

AUTHOR UNKNOWN

Ἁγνὸν χρὴ νηοῖο θυώδεος ἐντὸς ἰόντα
ἔμμεναι· ἁγνείη δ' ἔστι φρονεῖν ὅσια.

XVI

THE WATER OF PURITY

AUTHOR UNKNOWN

Ἁγνὰς χεῖρας ἔχων καὶ νοῦν καὶ γλῶτταν ἀληθῆ
εἴσιθι μὴ λουτροῖς ἀλλὰ νόῳ καθαρός·
Ἀοκεῖ γάρ θ' ὁσίοις ῥανὶς ὕδατος, ἄνδρα δὲ φαῦλον
οὐδ' ἂν ὁ πᾶς λούσαι χεύμασιν Ὠκεανός.

XVII

THE GREAT MYSTERIES

CRINAGORAS

Εἰ καὶ σοὶ ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
ἔπλως χερσαίας τ' οὐκ ἐπάτησας ὁδούς,
Ἔμπης Κεκροπίης ἐπιβήμεναι, ὄφρ' ἂν ἐκείνας
Δήμητρος μεγάλας νύκτας ἴδῃς ἱερῶν,
Τῶν ἄπο κὴν ζωοῖσιν ἀκηδέα, κεὖτ' ἂν ἵκηαι
ἐς πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.

VI

NATURE

I

THE GARDEN GOD

AUTHOR UNKNOWN

Μή με τὸν ἐκ Λιβάνοιο λέγε, ξένε, τὸν φιλοκώμων
τερπόμενον νυχίοις ἠϊθέων ὀάροις·
Βαιὸς ἐγὼ νύμφης ἀπὸ γείτονος ἀγροιώτης
μοῦνον ἐποτρύνων ἔργα φυτοσκαφίης,
Ἔνθεν ἀπ' εὐκάρπου με φίλης ἔστεψαν ἀλωῆς
τέσσαρες Ὡράων ἐκ πισύρων στέφανοι.

II

PAN'S PIPING

ALCAEUS OF MESSENE

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,
ἔμπνει ποιμενίῳ τερπόμενος δόνακι,
Εὐκελάδῳ σύριγγι χέων μέλος, ἐκ δὲ συνῳδοῦ
κλάζε κατιθύνων ῥήματος ἁρμονίην·
Ἀμφὶ δὲ σοί, ῥυθμοῖο κατὰ κρότον, ἔνθεον ἴχνος
ῥησσέσθω Νύμφαις ταῖσδε μεθυδριάσιν.

III

THE HIDDEN SPRING

LEONIDAS OF TARENTUM

Μὴ σύ γε ποιονόμοιο περίπλεον ἰλύος ὧδε
τοῦτο χαραδραίης θερμόν, ὁδῖτα, πίῃς,

Ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκραν
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ
Εὑρήσεις κελαρύζον ἐϋκρήνου διὰ πέτρης
νᾶμα Βορειαίης ψυχρότερον νιφάδος.

IV

THE MEADOW AT NOON

AUTHOR UNKNOWN

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος, ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα κόπου,
Ἠιχί σε καὶ Ζεφύροιο τινασσομένη πίτυς αὔραις
θέλξει, τεττίγων εἰσαΐοντα μέλος,
Χώ ποιμὴν ἐν ὄρεσσι μεσαμβρινὸν ἀγχόθι παγᾶς
συρίσδων λασίας θάμνῳ ὕπο πλατάνου·
Καύματ' ὀπωρινοῖο φυγὼν κυνὸς αἶπος ἀμείψεις
αὔριον· εὖ τόδε σοὶ Πανὶ λέγοντι πιθοῦ.

V

BENEATH THE PINE

PLATO

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πεύκην κλῶνας ὑπὸ Ζεφύροις,
Καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄξει κῶμα κατὰ βλεφάρων.

VI

WOOD-MUSIC

AUTHOR UNKNOWN

Ἔρχεο καὶ κατ' ἐμὰν ἵζευ πίτυν, ἃ τὸ μελιχρὸν
πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα Ζεφύρους·

Ἠνίδε καὶ κρούνισμα μελισταγές, ἔνθα μελίσδων
ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

VII

THE PLANE-TREE ON HYMETTUS

HERMOCREON

Ἴζευ ὑπὸ σκιερὰν πλάτανον, ξένε, τάνδε παρέρπων
ἃς ἁπαλῷ Ζέφυρος πνεύματι φύλλα δονεῖ,
Ἔνθα με Νικαγόρας κλυτὸν εἵσατο Μαιάδος Ἑρμᾶν
ἀγροῦ καρποτόκου ῥύτορα καὶ κτεάνων.

VIII

THE GARDEN OF PAN

PLATO

Σιγάτω λάσιον Δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
κρουνοί, καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
Αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πὰν
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων,
Αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες Νύμφαι, Νύμφαι Ἁμαδρυάδες.

IX

THE FOUNTAIN OF LOVE

MARIANUS

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἁπαλῷ τετρυμένος ὕπνῳ
εὗδεν Ἔρως, Νύμφαις λαμπάδα παρθέμενος·
Νύμφαι δ' ἀλλήλῃσι· τί μέλλομεν ; αἴθε δὲ τούτῳ
σβέσσαμεν, εἶπον, ὁμοῦ πῦρ κραδίης μερόπων.
Λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι Ἐρωτιάδες λουτροχοεῦσιν ὕδωρ.

X

ON THE LAWN

COMETAS

Πὰν φίλε, πηκτίδα μίμνε τεοῖς ἐπὶ χείλεσι σύρων,
Ἠχὼ γὰρ δήεις τοῖσδ' ἐνὶ θειλοπέδοις.

XI

THE SINGING STONE

AUTHOR UNKNOWN

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα παρέρπων
Νισαίην· ὅτε γὰρ τύρσιν ἐτειχοδόμει
Ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δομαῖον
λᾶα, Λυκωρείην ἐνθέμενος κιθάρην,
Ἔνθεν ἐγὼ λυράοιδος· ὑποκρούσας δέ με λεπτῇ
χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

XII

THE WOODLAND WELL

AUTHOR UNKNOWN

Ἀέναον Καθαρήν με παρερχομένοισιν ὁδίταις
πηγὴν ἀμβλύζει γειτονέουσα νάπη,
Πάντη δ' εὖ πλατάνοισι καὶ ἡμεροθάλλεσι δάφναις
ἔστεμμαι, σκιερὴν ψυχομένη κλισίην·
Τοὔνεκα μή με θέρευς παραμείβεο· δίψαν ἀλαλκὼν
ἄμπαυσον παρ' ἐμοὶ καὶ κόπον ἡσυχίῃ.

XIII

ASLEEP IN THE WOOD

THEOCRITUS

Εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακὸς
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη·
Ἀγρεύει δὲ τὺ Πὰν καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος
Ἄντρον ἔσω στείχοντες ὁμόρροθοι· ἀλλὰ τὺ φεῦγε,
φεῦγε, μεθεὶς ὕπνου κῶμα κατειβόμενον.

XIV

THE ORCHARD-CORNER

ANYTE

Ἑρμᾶς τᾷδ' ἕστακα παρ' ὄρχατον ἠνεμόεντα
ἐν τριόδοις, πολιᾶς ἐγγύθεν ἀϊόνος,
Ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο·
ψυχρὸν δ' ἀχραὲς κράνα ὕδωρ προχέει.

XV

PASTORAL SOLITUDE

SATYRUS

Ποιμενίαν ἄγλωσσος ἀν' ὀργάδα μέλπεται Ἀχὼ
ἀντίθρουν πτανοῖς ὑστερόφωνον ὄπα.

XVI

TO A BLACKBIRD SINGING

MARCUS ARGENTARIUS

Μηκέτι νῦν μινύριζε παρὰ δρυί, μηκέτι φώνει
κλωνὸς ἐπ' ἀκροτάτου, κόσσυφε, κεκλιμένος·

Ἐχθρόν σοι τόδε δένδρον· ἐπείγεο δ' ἄμπελος ἔνθα
ἀντέλλει γλαυκῶν σύσκιος ἐκ πετάλων·
Κείνης ταρσὸν ἔρεισον ἐπὶ κλάδον ἀμφί τ' ἐκείνῃ
μέλπε, λιγὺν προχέων ἐκ στομάτων κέλαδον·
Δρῦς γὰρ ἐπ' ὀρνίθεσσι φέρει τὸν ἀνάρσιον ἰξόν,
ἁ δὲ βότρυν· στέργει δ' ὑμνοπόλους Βρόμιος.

XVII

UNDER THE OAK

ANTIPHILUS

Κλῶνες ἀπηόριοι ταναῆς δρυός, εὔσκιον ὕψος
ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,
Εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φαττῶν,
οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,
Κἠμὲ τὸν ὑμετέραισιν ὑποκλινθέντα κόμαισιν
ῥύσασθ' ἀκτίνων ἠελίου φυγάδα.

XVIII

THE RELEASE OF THE OX

ADDAEUS

Αὔλακι καὶ γήρᾳ τετρυμένον ἐργατίνην βοῦν
Ἄλκων οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
Αἰδεσθεὶς ἔργων· ὁ δέ που βαθέῃ ἐνὶ ποίῃ
μυκηθμοῖς ἀρότρου τέρπετ' ἐλευθερίῃ.

XIX

THE SWALLOW AND THE GRASSHOPPER

EUENUS

Ἀτθὶ κόρα μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
τέττιγ' ἀπτῆσιν δαῖτα φέρεις τέκεσιν

Τὸν λάλον ἁ λαλόεσσα, τὸν εὔπτερον ἁ πτερόεσσα,
τὸν ξένον ἁ ξείνα, τὸν θερινὸν θερινά,
Κοὐχὶ τάχος ῥίψεις ; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

XX

THE COMPLAINT OF THE CICALA

AUTHOR UNKNOWN

Τίπτε με τὸν φιλέρημον ἀναιδέϊ ποιμένες ἄγρῃ
τέττιγα δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων,
Τὴν Νυμφέων παροδῖτιν ἀηδόνα κἤματι μέσσῳ
οὔρεσι καὶ σκιεραῖς ξουθὰ λαλεῦντα νάπαις ;
Ἠνίδε καὶ κίχλην καὶ κόσσυφον, ἠνίδε τόσσους
ψᾶρας, ἀρουραίης ἅρπαγας εὐπορίης·
Καρπῶν δηλητῆρας ἐλεῖν θέμις· ὄλλυτ' ἐκείνους·
φύλλων καὶ χλοερῆς τίς φθόνος ἐστὶ δρόσου ;

XXI

THE LAMENT OF THE SWALLOW

PAMPHILUS

Τίπτε πανημέριος, Πανδιονὶ κάμμορε κούρα,
μυρομένα κελαδεῖς τραυλὰ διὰ στομάτων ;
Ἦ τοι παρθενίας πόθος ἵκετο τάν τοι ἀπηύρα
Θρηΐκιος Τηρεὺς αἰνὰ βιησάμενος ;

XXII

THE SHEPHERD OF THE NYMPHS

MYRINUS

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Θύρσις ὁ συρίζων Πανὸς ἴσον δόνακι

Ἔνδιος οἰνοπότης σκιερὰν ὑπὸ τὰν πίτυν εὕδει,
φρουρεῖ δ' αὐτὸς ἑλὼν ποίμνια βάκτρον Ἔρως.

XXIII

THE SHRINE BY THE SEA (1)

MNASALCAS

Στῶμεν ἁλιρρύντοιο παρὰ χθαμαλὰν χθόνα πόντου
δερκόμενοι τέμενος Κύπριδος Εἰναλίας
Κράναν τ' αἰγείροισι κατάσκιον, ἃς ἄπο νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

XXIV

THE SHRINE BY THE SEA (2)

ANYTE

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρῆν πέλαγος
Ὄφρα φίλον ναύτῃσι τελῇ πλόον· ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

XXV

THE LIGHTHOUSE

AUTHOR UNKNOWN

Μηκέτι δειμαίνοντες ἀφεγγέα νυκτὸς ὁμίχλην
εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
Πᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
τῶν Ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

XXVI

SPRING ON THE COAST (1)

LEONIDAS OF TARENTUM

Ὁ πλόος ὡραῖος· καὶ γὰρ λαλαγεῦσα χελιδὼν
ἤδη μέμβλωκεν χὠ χαρίεις Ζέφυρος,
Λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα
κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
Ἀγκύρας ἀνέλοιο καὶ ἐκλύσαιο γύαια,
ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην·
Ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι ὁ λιμενίτας,
ὤνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην.

XXVII

SPRING ON THE COAST (2)

ANTIPATER OF SIDON

Ἀκμαῖος ῥοθίῃ νηὶ δρόμος, οὐδὲ θάλασσα
πορφύρει τρομερῇ φρικὶ χαρασσομένη.
Ἤδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα·
Τοὔνεκα μηρύσασθε διάβροχα πείσματα, ναῦται,
ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων,
Λαίφεα δ' εὐϋφέα προτονίζετε· ταῦθ' ὁ Πρίηπος
ὕμμιν ἐνορμίτας παῖς ἐνέπω Βρομίου.

XXVIII

GREEN SUMMER

NICAENETUS

Οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν, ἀλλ' ἐπ' ἀρούρης
δαίνυσθαι, Ζεφύρου πνεύματι τερπόμενος·

Ἀρκεῖ μοι κοίτη μὲν ὑπὸ πλευρῇσι χαμεύνα,
ἔγγυς γὰρ προμάλου δέμνιον ἐνδαπίης,
Καὶ λύγος ἀρχαῖον Καρῶν στέφος· ἀλλὰ φερέσθω
οἶνος καὶ Μουσέων ἡ χαρίεσσα λύρη,
Θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην
μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης.

XXIX

PALACE GARDENS

ARABIUS

Ὕδασι καὶ κήποισι καὶ ἄλσεσι καὶ Διονύσῳ
καὶ πόντου πλήθω γείτονος εὐφροσύνῃ,
Τερπνὰ δέ μοι γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος
καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος,
Τοὺς δ' ἐν ἐμοὶ μίμνοντας ἢ ὀρνίθων τις ἀείδων
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

VII

THE FAMILY

I

THE HOUSE OF THE RIGHTEOUS

MACEDONIUS

Εὐσεβίη τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμείλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους,
Οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
ὄλβον ἀολλίζων τεῦξε Μακηδόνιος,
Οὐδὲ λιπερνήτης κενεῷ καὶ ἀκερδέϊ μόχθῳ
κλαῦσε δικαιοτάτου μισθοῦ ἀτεμβόμενος·
Ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

II

THE GIRL'S CUP

PAULUS SILENTIARIUS

Χεῖλος Ἀνικήτεια τὸ χρύσεον εἰς ἐμὲ τέγγει·
ἀλλὰ παρασχοίμην καὶ πόμα νυμφίδιον.

III

THE FLOWER UNBLOWN

PHILODEMUS

Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει
βότρυς ὁ παρθενίους πρωτοβολῶν χάριτας,

Ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν Ἔρωτες,
Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.
Φεύγωμεν δυσέρωτες, ἕως βέλος οὐκ ἐπὶ νευρῇ·
μάντις ἐγὼ μεγάλης αὐτίκα πυρκαϊῆς.

IV

A ROSE IN WINTER

CRINAGORAS

Εἴαρος ἤνθει μὲν τὸ πρὶν ῥόδα, νῦν δ' ἐνὶ μέσσῳ
χείματι πορφυρέας ἐσχάσαμεν κάλυκας
Σῇ ἐπιμειδήσαντα γενεθλίῃ ἄσμενα τῇδε
ἠοῖ, νυμφιδίων ἀσσοτάτῃ λεχέων·
Καλλίστης στεφθῆναι ἐπὶ κροτάφοισι γυναικὸς
λώϊον ἢ μίμνειν ἠρινὸν ἠέλιον.

V

GOODBYE TO CHILDHOOD

AUTHOR UNKNOWN

Τιμαρέτα πρὸ γάμοιο τὰ τύμπανα τήν τ' ἐρατεινὴν
σφαῖραν, τόν τε κόμας ῥύτορα κεκρύφαλον,
Τάς τε κόρας, Λιμνάτι, κόρᾳ κόρα, ὡς ἐπιεικές,
ἄνθετο, καὶ τὰ κορᾶν ἐνδύματ' Ἀρτέμιδι.
Λατῷα, τὺ δὲ παιδὸς ὑπὲρ χέρα Τιμαρετείας
θηκαμένα σώζοις τὰν ὁσίαν ὁσίως.

VI

THE SCHOOLBOY

EUPHORION

Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας
Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην·

Ἀντὶ δὲ οἱ πλοκαμῖδος, Ἑκηβόλε, καλὸς ἐπείη
ὠχαρνῆθεν ἀεὶ κισσὸς ἀεξομένῳ.

VII

THE WIFE'S PRAYER

ANTIPATER OF THESSALONICA

Βιθυνὶς Κυθέρη με τεῆς ἀνεθήκατο, Κύπρι,
μορφῆς εἴδωλον λύγδινον εὐξαμένη·
Ἀλλὰ σὺ τῇ μικκῇ μεγάλην χάριν ἀντιμερίζου,
ὡς ἔθος· ἀρκεῖται δ' ἀνδρὸς ὁμοφροσύνᾳ.

VIII

BRIDEGROOM AND BRIDE

JOANNES BARBUCALLUS

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
τᾶς καλυκοστεφάνου νυμφίος Εὐρυνόμας
Ἑρμοφίλας ἀνέθηκεν ὁ βωκόλος· ἀλλὰ δέχεσθε
ἀντ' αὐτᾶς πακτάν, ἀντ' ἐμέθεν τὸ μέλι.

IX

THE BRIDE'S VIGIL

AGATHIAS

Μήποτε λύχνε μύκητα φέροις μηδ' ὄμβρον ἐγείροις
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον·
Αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι· καὶ γὰρ ὅθ' Ἡρὼ
ἥρμοσε Λειάνδρῳ—θυμέ, τὸ λοιπὸν ἔα.
Ἡφαίστου τελέθεις, καὶ πείθομαι ὅττι χαλέπτων
Κύπριδα θωπεύεις δεσποτικὴν ὀδύνην.

X

HEAVEN ON EARTH

THEOCRITUS

Ἁ Κύπρις οὐ πάνδαμος· ἱλάσκεο τὰν θεόν, εἰπὼν
Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
Οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον ἔσχε
ξυνόν· ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦν
Ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια· κηδόμενοι γὰρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

XI

WEARY PARTING

MELEAGER

Εὔφορτοι νᾶες πελαγίτιδες, αἳ πόρον Ἕλλης
πλεῖτε καλὸν κόλποις δεξάμεναι Βορέην,
Ἤν που ἐπ' ἠϊόνων Κῴαν κατὰ νᾶσον ἴδητε
Φανίον εἰς χαροπὸν δερκομέναν πέλαγος,
Τοῦτ' ἔπος ἀγγειλαιτε, καλαὶ νέες, ὥς με κομίζει
ἵμερος οὐ ναύταν ποσσὶ δὲ πεζοπόρον.
Εἰ γὰρ τοῦτ' εἴποιτ' εὐάγγελοι, αὐτίκα καὶ Ζεὺς
οὔριος ὑμετέρας πνεύσεται εἰς ὀθόνας.

XII

MOTHERHOOD

CALLIMACHUS

Καὶ πάλιν, Εἰλήθυια, Λυκαινίδος ἐλθὲ καλεύσης
εὔλοχος, ὠδίνων ὧδε σὺν εὐτυχίῃ·
Ἧς τόδε νῦν μέν, ἄνασσα, κόρης ὕπερ· ἀντὶ δὲ παιδὸς
ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.

XIII

PAST PERIL

CALLIMACHUS

Τὸ χρέος ὡς ἀπέχεις, Ἀσκληπιέ, τὸ πρὸ γυναικὸς
Δημοδίκης Ἀκέσων ὤφελεν εὐξάμενος,
Γιγνώσκεις· ἢν δ' ἆρα λάθῃ καὶ μισθὸν ἀπαιτῇς,
φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.

XIV

FATHER AND MOTHER

PHAEDIMUS

Αρτεμι, σοὶ τὰ πέδιλα Κιχησίου εἵσατο υἱός,
καὶ πέπλων ὀλίγον πτύγμα Θεμιστοδίκη
Οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες
χεῖρας, ἄτερ τόξου, πότνια, νισσομένη·
Ἄρτεμι, νηπίαχον δὲ καὶ εἰσέτι παῖδα Λέοντι
νεῦσον ἰδεῖν κοῦρον γυῖ' ἐπαεξόμενον.

XV

HOUSEHOLD HAPPINESS

AGATHIAS

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη·
Εὕρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

XVI

GRACIOUS CHILDREN

THEAETETUS

Ὄλβια τέκνα γένοισθε· τίνος γένος ἔστε, τί δ' ὑμῖν
ὧδε καλοῖς χαρίεν κείμενόν ἐστ' ὄνομα ;
Νικάνωρ ἐγώ εἰμι, πατὴρ δ' ἐμοὶ Αἰπιόρητος,
μήτηρ δ' Ἡγησώ, κεἰμὶ γένος Μακεδών.
Καὶ μὲν ἐγὼ Φίλα εἰμί, καί ἐστί μοι οὗτος ἀδελφός,
ἐκ δ' εὐχῆς τοκέων ἔσταμες ἀμφότεροι.

XVII

THE UNBROKEN HOME

AUTHOR UNKNOWN

Αὐτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
Ἀνδροτίων· οὔπω δ' οὐδενός εἰμι τάφος.
Οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους προτέρους.

XVIII

THE BROKEN HOME

BIANOR

Θειονόης ἔκλαιον ἐμῆς μόρον, ἀλλ' ἐπὶ παιδὸς
ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας·
Νῦν δέ με καὶ παιδὸς φθονερή τις ἐνόσφισε Μοῖρα·
φεῦ βρέφος, ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Περσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον,
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

XIX

SUNDERING

ANTIPATER OF SIDON

Ἦ που σὲ χθονίας, Ἀρετημιάς, ἐξ ἀκάτοιο
Κωκυτοῦ θεμέναν ἴχνος ἐπ' ἀϊόνι
Οἰχομένον βρέφος ἄρτι νέῳ φορέουσαν ἀγοστῷ
ὤκτειραν θαλεραὶ Δωρίδες εἰν Ἀΐδᾳ,
Πευθόμεναι τέο κῆρα· σὺ δὲ ξαίνουσα παρειὰς
δάκρυσιν ἄγγειλας κεῖν' ἀνιαρὸν ἔπος·
Δίπλοον ὠδίνασα, φίλαι, τέκος, ἄλλο μὲν ἀνδρὶ
Εὔφρονι καλλιπόμαν, ἄλλο δ' ἄγω φθιμένοις.

XX

NUNC DIMITTIS

JOANNES BARBUCALLUS

Ἐς ποσιν ἀθρήσασα παρ' ἐσχατίης λίνα μοίρης
ᾔνεσα καὶ χθονίους, ᾔνεσα καὶ ζυγίους,
Τοὺς μὲν, ὅτι ζωὸν λίπον ἀνέρα, τοὺς δ' ὅτι τοῖον·
ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ' ἡμετέροις.

XXI

LEFT ALONE

AUTHOR UNKNOWN

Νικόπολιν Μαράθωνις ἐθήκατο τῇδ' ἐνὶ πέτρῃ
ὀμβρήσας δακρύοις λάρνακα μαρμαρέην,
Ἀλλ' οὐδὲν πλέον ἔσχε· τί γὰρ πλέον ἀνέρι κήδευς
μούνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχου ;

XXII

EARTH'S FELICITY

CARPHYLLIDES

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα,
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών·
Τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου· τρισσοῖς παισὶν ἔδαισα γάμους,
Ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον·
Οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι χώρην πέμψαν ἐπ' εὐσεβέων.

VIII

BEAUTY

I

SUMMER NOON

MELEAGER

Εἰνόδιον στείχοντα μεσαμβρινὸν εἶδον Ἄλεξιν
ἄρτι κόμαν καρπῶν κειρομένου θέρεος,
Διπλαῖ δ' ἀκτῖνές με κατέφλεγον, αἱ μὲν Ἔρωτος
παιδὸς ἀπ' ὀφθαλμῶν, αἱ δὲ παρ' ἠελίου·
Αλλ' ἃς μὲν νὺξ αὖθις ἐκοίμισεν, ἃς δ' ἐν ὀνείροις
εἴδωλον μορφῆς μᾶλλον ἀνεφλόγισεν·
Λυσίπονος δ' ἑτέροις ἐπ' ἐμοὶ πόνον ὕπνος ἔτευξεν,
ἔμπνουν πῦρ ψυχῇ κάλλος ἀπεικονίσας.

II

IN THE FIELD-PATH

RHIANUS

Ἦ ῥά νύ τοι, Κλεόνικε, δι' ἀτραπιτοῖο κίοντι
στεινῆς ἠντήσανθ' αἱ λιπαραὶ Χάριτες
Καί σε ποτὶ ῥοδέῃσιν ἐπηχύναντο χέρεσσιν,
κοῦρε, πεποίησαι δ' ἡλίκος ἐσσὶ χάρις.

Τηλόθι μοι μάλα χαῖρε· πυρὸς δ' οὐκ ἀσφαλὲς ἆσσον
ἕρπειν αὐηρήν, ἆ φίλος, ἀνθέρικα.

III

THE NEW LOVE

MELEAGER

Ἀρνεῖται τὸν Ἔρωτα τεκεῖν ἡ Κύπρις ἰδοῦσα
ἄλλον ἐν ἠϊθέοις Ἵμερον Ἀντίοχον·
Ἀλλά, νέοι, στέργοιτε νέον Πόθον· ἦ γὰρ ὁ κοῦρος
εὕρηται κρείσσων οὗτος Ἔρωτος Ἔρως.

IV

CONTRA MUNDUM

CALLIMACHUS

Ἔγχει καὶ πάλιν εἰπὲ Διοκλέος, οὐδ' Ἀχελῷος
κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων·
Καλὸς ὁ παῖς, Ἀχελῷε, λίην καλός· εἰ δέ τις οὐχὶ
φησίν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

V

THE KISS

PLATO

Τὴν ψυχήν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

VI

THE FLOWER OF COS

MELEAGER

Εἰκόνα μὲν Παρίην ζωογλύφος ἄνυσ' Ἔρωτος
Πραξιτέλης, Κύπριδος παῖδα τυπωσάμενος,
Νῦν δ' ὁ θεῶν κάλλιστος Ἔρως ἔμψυχον ἄγαλμα
αὐτὸν ἀπεικονίσας ἔπλασε Πραξιτέλην,
Ὄφρ' ὁ μὲν ἐν θνατοῖς, ὁ δ' ἐν αἰθέρι φίλτρα βραβεύῃ,
γῆς θ' ἅμα καὶ μακάρων σκηπτροφορῶσι Πόθοι.
Ὀλβίστη Μερόπων ἱερὰ πόλις, ἃ θεόπαιδα
καινὸν Ἔρωτα νέων θρέψεν ὑφαγεμόνα.

VII

THE STAR-GAZER

PLATO

Ἀστέρας εἰσαθρεῖς Ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

VIII

THE SUN OF TYRE

MELEAGER

Ἁβρούς, ναὶ τὸν Ἔρωτα, τρέφει Τύρος· ἀλλὰ Μυΐσκος
ἔσβεσεν ἐκλάμψας ἀστέρας ἠέλιος.

IX

THE LODESTAR

MELEAGER

Ἐν σοὶ τἀμά, Μυΐσκε, βίου πρυμνήσι' ἀνῆπται·
ἐν σοὶ καὶ ψυχῆς πνεῦμα τὸ λειφθὲν ἔτι·

Ναὶ γὰρ δὴ τὰ σά, κοῦρε, τὰ καὶ κωφοῖσι λαλεῦντα
ὄμματα, ναὶ μὰ τὸ σὸν φαιδρὸν ἐπισκύνιον,
Ἤν μοι συννεφὲς ὄμμα βάλῃς ποτέ, χεῖμα δέδορκα,
ἢν δ' ἱλαρὸν βλέψῃς, ἡδὺ τέθηλεν ἔαρ.

X

LAUREL AND HYACINTH

MELEAGER

Αἰπολικαὶ σύριγγες ἐν οὔρεσι μηκέτι Δάφνιν
φωνεῖτ', αἰγιβάτῃ Πανὶ χαριζόμεναι,
Μηδὲ σὺ τὸν στεφθέντα, λύρη Φοίβοιο προφῆτι,
δάφνῃ παρθενίῃ μέλφ' Ὑάκινθον ἔτι·
Ἦν γὰρ ὅτ' ἦν Δάφνις μὲν Ὀρειάσι, σοὶ δ' Ὑάκινθος
τερπνός· νῦν δὲ πόθων σκῆπτρα Δίων ἐχέτω.

XI

THE QUEST OF PAN

GLAUCUS

Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκές, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
Ναὶ ναί, Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν·
Πάν, Πάν, πρὸς Μαλέαν, πρὸς ὄρος Ψωφίδιον ἔρχευ·
ἱξοῦμαι. Νύμφαι χαίρετ', ἐγὼ δ' ὑπάγω.

XII

THE AUTUMN BOWER

MNASALCAS

Ἄμπελε, μήποτε φύλλα χαμαὶ σπεύδουσα βαλέσθαι
δείδιας ἑσπέριον Πλειάδα δυομέναν;

Μεῖνον ἐπ' Ἀντιλέοντι πεσεῖν ὑπὸ τὶν γλυκὺν ὕπνον,
ἐς τότε τοῖς καλοῖς πάντα χαριζομένα.

XIII

AN ASH IN THE FIRE

MELEAGER

Ἤδη μὲν γλυκὺς ὄρθρος· ὁ δ' ἐν προθύροισιν ἄϋπνος
Δᾶμις ἀποψύχει πνεῦμα τὸ λειφθὲν ἔτι
Σχέτλιος Ἡράκλειτον ἰδών· ἔστη γὰρ ὑπ' αὐγὰς
ὀφθαλμῶν βληθεὶς κηρὸς ἐς ἀνθρακίην.
Ἀλλά μοι ἔγρεο Δᾶμι, δυσάμμορε· καὐτὸς Ἔρωτος
ἕλκος ἔχων ἐπὶ σοῖς δάκρυσι δακρυχέω.

XIV

FAREWELL

MELEAGER

Οὐκέθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκέτι ναίειν
ὁ τραγόπους ὀρέων Πὰν ἐθέλω κορυφάς.
Τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσιν ; ὤλετο Δάφνις,
Δάφνις ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
Αστυ τόδ' οἰκήσω· θηρῶν δέ τις ἄλλος ἐπ' ἄγρην
στελλέσθω· τὰ πάροιθ' οὐκέτι Πανὶ φίλα.

IX

FATE AND CHANGE

I

THE FLOWER OF YOUTH

MARCUS ARGENTARIUS

Ἰσιὰς ἡδύπνευστε, καὶ εἰ δεκάκις μύρον εὕδεις,
ἔγρεο καὶ δέξαι χερσὶ φίλαις στέφανον
Ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ
ὄψεαι, ὑμετέρης σύμβολον ἡλικίης.

II

THE MAIDEN'S POSY

RUFINUS

Πέμπω σοί, Ῥοδόκλεια, τόδε στέφος, ἄνθεσι καλοῖς
αὐτὸς ὑφ' ἡμετέραις πλεξάμενος παλάμαις·
Ἔστι κρίνον ῥοδέη τε κάλυξ νοτερή τ' ἀνεμώνη
καὶ νάρκισσος ὑγρὸς καὶ κυαναυγὲς ἴον·
Ταῦτα στεψαμένη λῆξον μεγάλαυχος ἐοῦσα·
ἀνθεῖς καὶ λήγεις καὶ σὺ καὶ ὁ στέφανος.

III

WITHERED BLOSSOMS

STRATO

Εἰ κάλλει καυχᾷ, γίγνωσχ' ὅτι καὶ ῥόδον ἀνθεῖ,
ἀλλὰ μαρανθὲν ἄφνω σὺν κοπρίοις ἐρίφη·

Ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα,
ταῦτα δ' ὁμῆ φθονέων ἐξεμάρανε χρόνος.

IV

ROSE AND THORN

AUTHOR UNKNOWN

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ
ζητῶν εὑρήσεις οὐ ῥόδον ἀλλὰ βάτον.

V

THE BIRD OF TIME

THYMOCLES

Μέμνῃ που, μέμνῃ ὅτε τοι ἔπος ἱερὸν εἶπον·
ὥρη κάλλιστον, χώρη ἐλαφρότατον·
Ὥρην οὐδ' ὁ τάχιστος ἐν αἰθέρι παρφθάσει ὄρνις.
νῦν ἴδε πάντ' ἐπὶ γῆς ἄνθεα σεῦ κέχυται.

VI

THE END OF DESIRE

SECUNDUS

Ἢ τὸ πάλαι Λαΐς πάντων βέλος, οὐκέτι Λαΐς
ἀλλ' ἐτέων φανερὴ πᾶσιν ἐγὼ Νέμεσις.
Οὐ μὰ Κύπριν (τί δὲ Κύπρις ἐμοὶ πλέον ἢ ὅσον ὅρκος;)
γνώριμον οὐδ' αὐτῇ Λαΐδι Λαΐς ἔτι.

VII

HOARDED BEAUTY

STRATO

Εἰ μὲν γηράσκει τὸ καλόν, μετάδος πρὶν ἀπέλθῃ·
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

VIII

DUST AND ASHES

ASCLEPIADES

Φείδῃ παρθενίης, καὶ τί πλέον; οὐ γὰρ ἐς Ἅιδην
ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα, κόρη·
Ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ' Ἀχέροντι
ὀστέα καὶ σποδιή, παρθένε, κεισόμεθα.

IX

TO-MORROW

MACEDONIUS

Αὔριον ἀθρήσω σε· τὸ δ' οὔ ποτε γίνεται ἡμῖν
ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης·
Ταῦτά μοι ἱμείροντι χαρίζεαι, ἄλλα δ' ἐς ἄλλους
δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.
Ὄψομαι ἑσπερίη σε. τί δ' ἕσπερός ἐστι γυναικῶν;
γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.

X

THE CASKET OF PANDORA

MACEDONIUS

Πανδώρης ὁρῶν γελόω πίθον, οὐδὲ γυναῖκα
μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν Ἀγαθῶν·

Ὡς γὰρ ἐπ' Οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
Ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς
ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων,
Ἀμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

XI

COMING WINTER

ANTIPATER OF SIDON

Ἤδη τοι φθινόπωρον, Ἐπίκλεες, ἐκ δὲ Βοώτου
ζώνης Ἀρκτούρου λαμπρὸν ὄρωρε σέλας,
Ἤδη καὶ σταφυλαὶ δρεπάνης ἐπιμιμνήσκονται
καί τις χειμερινὴν ἀμφερέφει καλύβην·
Σοὶ δ' οὔτε χλαίνης θερμὴ κροκὺς οὔτε χιτῶνος
ἔνδον· ἀποσκλήσῃ δ' ἀστέρα μεμφόμενος.

XII

NEMESIS

MELEAGER

Ἐφθέγξω, ναὶ Κύπριν, ἃ μὴ θεός, ὦ μέγα τολμᾶν
θυμὲ μαθών· Θήρων σοὶ καλὸς οὐκ ἐφάνη·
Σοὶ καλὸς οὐκ ἐφάνη Θήρων· ἀλλ' αὐτὸς ὑπέστης·
οὐδὲ Διὸς πτήξεις πῦρ τὸ κεραυνοβόλον.
Τοιγὰρ ἰδού, τὸν πρόσθε λάλον προὔθηκεν ἰδέσθαι
δεῖγμα θρασυστομίης ἡ βαρύφρων Νέμεσις.

XIII

THE BLOODY WELL

APOLLONIDES

Ἡ Καθαρὴ (Νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
κρήνη πασάων δῶκαν ἐμοὶ λιβάδων)
Ληϊστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας
καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,
Κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον οὐκέθ' ὁδίταις
βλύζω· τίς γὰρ ἐρεῖ τὴν Καθαρὴν ἔτι με ;

XIV

A STORY OF THE SEA

ANTIPATER OF THESSALONICA

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδατι, δῆριν ἔθεντο
δισσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.
Τύψε μὲν Ἀνταγόρης Πεισίστρατον· οὐ νεμεσητόν,
ἦν γὰρ ὑπὲρ ψυχῆς· ἀλλ' ἐμέλησε Δίκῃ.
Νήχεθ' ὁ μέν, τὸν δ' εἶλε κύων ἁλός· ἦ παναλάστωρ
κηρῶν οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

XV

EMPTY HANDS

CALLIMACHUS

Οἶδ' ὅτι μοι πλούτου κενεαὶ χέρες· ἀλλά, Μένιππε,
μὴ λέγε, πρὸς Χαρίτων, τοὐμὸν ὄνειρον ἐμοί·
Ἀλγέω ἦν διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούω·
ναί, φίλε, τῶν παρὰ σοῦ τοῦτ' ἀνεραστότατον.

XVI

LIGHT LOVE

MARCUS ARGENTARIUS

Ἡράσθης πλουτῶν, Σωσίκρατες· ἀλλὰ πένης ὢν
οὐκέτ' ἐρᾷ· λιμὸς φάρμακον οἷον ἔχει·
Ἡ δὲ πάρος σε καλεῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν
Μηνοφίλα, νῦν σου τοὔνομα πυνθάνεται.
Τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως
τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

XVII

FORTUNE'S PLAYTHING

AUTHOR UNKNOWN

Οὐκ ἐθέλουσα Τύχη σε προήγαγεν, ἀλλ' ἵνα δείξῃ
ὡς ὅτι μέχρις σοῦ πάντα ποιεῖν δύναται.

XVIII

TIME THE CONQUEROR

PLATO

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα καὶ μορφὴν καὶ φύσιν ἠδὲ τύχην.

XIX

MEMNON AND ACHILLES

ASCLEPIODOTUS

Ζώειν, εἰναλιη Θέτι, Μέμνονα καὶ μέγα φωνεῖν
μάνθανε, μητρῷῃ λαμπάδι θαλπόμενον,
Αἰγύπτου Λιβυκῇσιν ὑπ' ὀφρύσιν, ἔνθ' ἀποτάμνει
καλλίπυλον Θήβην Νεῖλος ἐλαυνόμενος,

Τὸν δὲ μάχης ἀκόρητον Ἀχιλλέα μήτ' ἐνὶ Τρώων
φθέγγεσθαι πεδίῳ, μήτ' ἐνὶ Θεσσαλίῃ.

XX

CORINTH

ANTIPATER OF SIDON

Ποῦ τὸ περίβλεπτον κάλλος σέο, Δωρὶ Κόρινθε;
ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα
Ποῦ νηοὶ μακάρων, ποῦ δώματα, ποῦ δὲ δάμαρτες
Σισύφιαι λαῶν θ' αἵ ποτε μυριάδες;
Οὐδὲ γὰρ οὐδ' ἴχνος, πολυκάμμορε, σεῖο λέλειπται,
πάντα δὲ συμμάρψας ἐξέφαγεν πόλεμος.
Μοῦναι ἀπόρθητοι Νηρηΐδες Ὠκεανοῖο
κοῦραι σῶν ἀχέων μίμνομεν ἀλκυόνες.

XXI

DELOS

ANTIPATER OF THESSALONICA

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ·
Οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἳ ἐμὲ δειλήν,
ὅσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας· ὀψέ μοι Ἥρη
Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

XXII

TROY

AGATHIAS

Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς,
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτα τέλεσσε Τύχη·

Εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεε, Δαρδανικοῖς γὰρ
σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις·
Εἰ δὲ θεῶν τεμένη καὶ τείχεα καὶ ναετῆρας
ζηλήμων δηίων ἐξεκένωσεν Ἄρης,
Εἰμὶ πάλιν βασίλεια· σὺ δ' ὦ τέκος, ἄτρομε Ῥώμη,
βάλλε καθ' Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

XXIII

MYCENAE (1)

ALPHEUS

Ἡρώων ὀλίγαι μὲν ἐν ὄμμασιν, αἱ δ' ἔτι λοιπαὶ
πατρίδες οὐ πολλῷ γ' αἰπύτεραι πεδίων·
Οἴην καὶ σέ, τάλαινα, παρερχόμενός γε Μυκήνην
ἔγνων, αἰπολίου παντὸς ἐρημοτέρην,
Αἰπολικὸν μήνυμα· γέρων δέ τις, ἡ πολύχρυσος,
εἶπεν, Κυκλώπων τῇδ' ἐπέκειτο πόλις.

XXIV

MYCENAE (2)

POMPEIUS

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα Μυκήνη,
εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου,
Ἴλου τις καθορῶν κλεινὴν πόλιν ἣς ἐπάτησα
τείχεα, καὶ Πριάμου πάντ' ἐκένωσα δόμον,
Γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον· εἰ δέ με γῆρας
ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

XXV

AMPHIPOLIS

ANTIPATER OF THESSALONICA

Στρυμόνι καὶ μεγάλῳ πεπολισμένον Ἑλλησπόντῳ
ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,
Λοιπά τοι Αἰθοπίης Βραυρωνίδος ἴχνια νηοῦ
μίμνει καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ,
Τὴν δέ ποτ' Αἰγείδαις μεγάλην ἔριν ὡς ἁλιανθὲς
τρῦχος ἐπ' ἀμφοτέραις δερκόμεθ' ἠϊόσιν.

XXVI

SPARTA

AUTHOR UNKNOWN

Ἁ πάρος ἄδμητος καὶ ἀνέμβατος, ὦ Λακεδαῖμον,
καπνὸν ἐπ' Εὐρώτᾳ δέρκεαι Ὠλένιον
Ἄσκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες
μύρονται, μήλων δ' οὐκ ἀΐουσι λύκοι.

XXVII

BERYTUS

AUTHOR UNKNOWN

Τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν,
ἡμεῖς δὲ ζῶντες τὴν πόλιν ἐκφέρομεν.

XXVIII

SED TERRAE GRAVIORA

LEONIDAS OF TARENTUM

Ὁλκάδα πῦρ μ' ἔφλεξε τόσην ἅλα μετρήσασαν
ἐν χθονὶ τῇ πεύκας εἰς ἐμὲ κειραμένῃ,

Ἦν πέλαγος διέσωσεν ἐπ' ᾠόνα· ἀλλὰ θαλάσσης
τὴν ἐμὲ γειναμένην εὗρον ἀπιστοτέρην.

XXIX

YOUTH AND RICHES

AUTHOR UNKNOWN

Ἦν νέος ἀλλὰ πένης, νῦν γηρῶν πλούσιός εἰμι,
ὦ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις,
Ὃς τότε μὲν χρῆσθαι δυνάμην ὁπότ' οὐδὲ ἓν εἶχον,
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι τότ' ἔχω.

XXX

THE VINE'S REVENGE

EUENUS

Κἤν με φάγῃς ἐπὶ ῥίζαν ὅμως ἔτι καρποφορήσω
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

XXXI

REVERSAL

PLATO

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

XXXII

TENANTS AT WILL

AUTHOR UNKNOWN

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου,
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον·
Καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ Τύχης.

XXXIII

PARTING COMPANY

AUTHOR UNKNOWN

Ἐλπὶς καὶ σὺ Τύχη μέγα χαίρετε· τὸν λιμέν' εὗρον·
οὐδὲν ἐμοὶ χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

XXXIV

FORTUNE'S MASTER

PALLADAS

Ἐλπίδος οὐδὲ Τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
λοιπὸν τῆς ἀπάτης· ἤλυθον εἰς λιμένα.
Εἰμὶ πένης ἄνθρωπος, ἐλευθερίῃ δὲ συνοικῶν
ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

XXXV

BREAK OF DAY

JULIUS POLYAENUS

Ἐλπὶς ἀεὶ βιότου κλέπτει χρόνον· ἡ πυμάτη δὲ
ἠὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

X

THE HUMAN COMEDY

I

PROLOGUE

STRATO

Μὴ ζήτει δέλτοισιν ἐμαῖς Πρίαμον παρὰ βωμοῖς
μηδὲ τὰ Μηδείης πένθεα καὶ Νιόβης,
Μηδ' Ἴτυν ἐν θαλάμοις καὶ ἀηδόνας ἐν πετάλοισιν·
ταῦτα γὰρ οἱ πρότεροι πάντα χύδην ἔγραφον·
Ἀλλ' ἱλαραῖς Χαρίτεσσι μεμιγμένον ἡδὺν Ἔρωτα
καὶ Βρόμιον· τούτοις δ' ὀφρύες οὐκ ἔπρεπον.

II

FLOWER O' THE ROSE

DIONYSIUS

Ἢ τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν· ἀλλὰ τί πωλεῖς,
σαυτήν, ἢ τὰ ῥόδα, ἢὲ συναμφότερα ;

III

LOST DRINK

NICARCHUS

Ἑρμαίοις ἡμῖν Ἀφροδίσιος ἓξ χόας οἴνου
αἴρων, προσκύψας πένθος ἔθηκε μέγα.
Οἶνος καὶ Κένταυρον ἀπώλεσεν· ὡς ὄφελεν δὲ
χἠμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

IV

THE VINTAGE-REVEL

LEONIDAS OF TARENTUM

Γλευκοπόταις Σατύροισι καὶ ἀμπελοφύτορι Βάκχῳ
Ἡρώναξ πρῶτα δράγματα φυταλιῆς
Τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούσδε
ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους,
Ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἴνοπι Βάκχῳ
καὶ Σατύροις, Σατύρων πλείονα πιόμεθα.

V

SNOW IN SUMMER

SIMONIDES

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὀξὺς ἀπὸ Θρῄκης ὀρνύμενος Βορέας
Ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας· αὐτὰρ ἐκρύφθη
ζωή, Πιερίαν γῆν ἐπιεσσαμένη·
Ἕν τις ἔμοιγ' αὐτῆς χεέτω μέρος· οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

VI

A JUG OF WINE

AUTHOR UNKNOWN

Στρογγύλη, εὐτόρνευτε, μονούατε, μακροτράχηλε,
ὑψαύχην, στεινῷ φθεγγομένη στόματι,
Βάκχου καὶ Μουσέων ἱλαρὴ λάτρι καὶ Κυθερείης,
ἡδύγελως, τερπνὴ συμβολικῶν ταμίη,
Τίφθ' ὁπόταν νήφω μεθύεις σύ μοι, ἢν δὲ μεθυσθῶ
ἐκνήφεις ; ἀδικεῖς συμποτικὴν φιλίην.

VII

THE EMPTY JAR

ERATOSTHENES

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο, Βάκχε·
δέχνυσο δ' εὐμενέως· ἄλλο γὰρ οὐδὲν ἔχει.

VIII

ANGELORUM CHORI

MARCUS ARGENTARIUS

Κωμάζω, χρύσειον ἐς ἑσπερίων χορὸν ἄστρων
λεύσσων, οὐδ' ἄλλων λὰξ ἐβάρυνα χορούς,
Στέψας δ' ἀνθόβολον κρατὸς τρίχα, τὴν κελαδεινὴν
πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα·
Καὶ τάδε δρῶν εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτὸς
κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

IX

SUMMER SAILING

ANTIPHILUS

Κὴν πρύμνῃ λαχέτω μέ ποτε στιβάς, αἵ θ' ὑπὲρ αὐτῆς
ἠχεῦσαι ψακάδων τύμματι διφθερίδες,
Καὶ πῦρ ἐκ μυλάκων βεβιημένον, ἥ τ' ἐπὶ τούτων
χύτρη, καὶ κενεὸς πομφολύγων θόρυβος,
Καὶ κρέ' ἔποντ' ἐσίδοιμι διήκονον, ἠδὲ τράπεζα
ἔστω μοι στρωτὴ νηὸς ὕπερθε σανίς·

Δὸς λάβε, καὶ ψιθύρισμα τὸ ναυτικόν· εἶχε τύχη τις
πρώην τοιαύτη τὸν φιλόκοινον ἐμέ.

X

L'ALLEGRO

JULIANUS AEGYPTIUS

Ἡδέα πάντα κέλευθα λάχεν βίος· ἄστεϊ μέσσῳ
εὖχος ἑταιρεῖαι, κρυπτὰ δόμοισιν ἄχη·
Ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας· ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει,
Τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος· ἕρκος ἐτύχθη
πατρὶ τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος·
Ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων ζῶε, φύτευε γένος.

XI

DUM VIVIMUS VIVAMUS

AUTHOR UNKNOWN

Ἐξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι ζῆθι λέγουσι βροτοῖς.

XII

HOPE AND EXPERIENCE

AUTHOR UNKNOWN

Εἴ τις ἅπαξ γήμας πάλι δεύτερα λέκτρα διώκει
ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

XIII

AN UNGROUNDED SCANDAL

LUCILIUS

Τὰς τρίχας, ὦ Νίκυλλά, τινες βάπτειν σε λέγουσιν,
ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

XIV

THE POPULAR SINGER

NICARCHUS

Νυκτικοραξ ᾄδει θανατηφόρον· ἀλλ' ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

XV

THE FAULTLESS DANCER

PALLADAS

Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμός,
ὡς ξύλινος Δάφνην, ὡς λίθινος Νιόβην.

XVI

THE FORTUNATE PAINTER

LUCILIUS

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱούς,
οὐδ' ἀπὸ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

XVII

SLOW AND SURE

NICARCHUS

Πέντε μετ' ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
θαῦμα μέν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
Ἐξ ὄντων, τάχ' ἐρεῖς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
θάρσει, Χάρμε, λέγων, ἦλθεν ἐν ἱματίῳ·
Ἕβδομος οὖν οὕτω παραγίνεται· εἰ δ' ἔτι πέντε
εἶχε φίλους, ἦλθ' ἄν, Ζωΐλε, δωδέκατος.

XVIII

MARCUS THE RUNNER

LUCILIUS

Νύκτα μέσην ἐποίησε τρέχων ποτὲ Μάρκος ὁπλίτης
ὥστ' ἀποκλεισθῆναι πάντοθε τὸ στάδιον,
Οἱ γὰρ δημόσιοι κεῖσθαί τινα πάντες ἔδοξαν
ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων·
Καὶ τί γάρ; εἰς ὥρας ἠνοίγετο, καὶ τότε Μάρκος
ἦλθε, προσελλείπων τῷ σταδίῳ στάδιον.

XIX

HERMOGENES

LUCILIUS

Ὁ βραχὺς Ἑρμογένης, ὅταν ἐκβάλῃ εἰς τὸ χαμαί τι
ἕλκει πρὸς τὰ κάτω τοῦτο δορυδρεπάνῳ.

XX

PHANTASMS OF THE LIVING

LUCILIUS

Γάϊος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτὸς
εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως
Καὶ πέρας εἰς Ἀΐδην καταβὰς ὅλος οἷος ὅτ' ἔζη
τῶν ὑπὸ γῆν σκελετῶν λεπτότατος πέταται·
Τὴν δὲ κενὴν κλίνην οἱ φράτορες ἦραν ἐπ' ὤμων
ἐγγράψαντες ἄνω, Γάϊος ἐκφέρεται.

XXI

A LABOUR OF HERCULES

LUCILIUS

Τον μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὗρὼν
εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς·
Ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

XXII

EROTION

LUCILIUS

Τὴν μικρὴν παίζουσαν Ἐρώτιον ἥρπασε κώνωψ·
ἡ δέ, τί, φησί, δρῶ, Ζεῦ πάτερ, εἴ μ' ἐθέλεις;

XXIII

ARTEMIDORA

LUCILIUS

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
τὴν λεπτήν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

XXIV

THE ATOMIC THEORY

LUCILIUS

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν
εἶναι, τοῦτο δοκῶν, Ἄλκιμε, λεπτότατον·
Εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου
τοῦ καὶ τῶν ἀτόμων πουλύ τι λεπτοτέρου,
Ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
ἐκ τούτου δ' αὐτάς, Ἄλκιμε, τὰς ἀτόμους.

XXV

CHAEREMON

LUCILIUS

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων ἀχύρου πολλὸν ἐλαφρότερος,
Καὶ τάχ' ἂν ἐρροίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
τοὺς πόδας ἐμπλεχθεὶς ὕπτιος ἐκρέματο.
Αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς
ἑκταῖος κατέβη νήματι τῆς ἀράχνης.

XXVI

GOD AND THE DOCTOR

NICARCHUS

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὤν, καὶ Ζεύς, σήμερον ἐκφέρεται.

XXVII

THE PHYSICIAN AND THE ASTROLOGER

NICARCHUS

Ἑρμογένη τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν·
Κἀκεῖνος γελάσας, τί μὲν ὁ Κρόνος ἐννέα μηνῶν,
φησί, τελεῖ, σὺ νόει· τἀμὰ δὲ σύντομά σοι.
Εἶπε, καὶ ἐκτείνας μόνον ἥψατο, καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

XXVIII

A DEADLY DREAM

LUCILIUS

Ἑρμογένη τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις
οὐκέτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

XXIX

SIMON THE OCULIST

NICARCHUS

Ἤν τιν' ἔχῃς ἐχθρόν, Διονύσιε, μὴ καταράσῃ
τὴν Ἶσιν τούτῳ μηδὲ τὸν Ἁρποκράτην,
Μηδ' εἴ τις τυφλοὺς ποιεῖ θεός, ἀλλὰ Σίμωνα·
καὶ γνώσῃ τί θεὸς καὶ τί Σίμων δύναται.

XXX

SCIENTIFIC SURGERY

NICARCHUS

Χειρουργῶν ἔσφαξεν Ἀλκεστορίδην Ἀγέλαος·
ζῶν γὰρ χωλεύειν, φησίν, ἔμελλε τάλας

XXXI

THE WISE PROPHET

LUCILIUS

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
πάντες ἐμαντεύσανθ' ὡς ἀφ' ἑνὸς στόματος,
Ἀλλ' Ἑρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον·
εἶπε δ', ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

XXXII

SOOTHSAYING

NICARCHUS

Εἰς Ῥόδον εἰ πλεύσει τις Ὀλυμπικὸν ἦλθεν ἐρωτῶν
τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως·
Χώ μάντις, πρῶτον μέν, ἔφη, καινὴν ἔχε τὴν ναῦν,
καὶ μὴ χειμῶνος, τοῦ δὲ θέρους ἀνάγου·
Τοῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε καὶ ὧδε
ἂν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

XXXIII

A SCHOOL OF RHETORIC

AUTHOR UNKNOWN

Χαίρετ' Ἀριστείδου τοῦ ῥήτορος ἑπτὰ μαθηταί,
τέσσαρες οἱ τοῖχοι καὶ τρία συψέλια.

XXXIV

THE LIBERAL ARTS

LUCILIUS

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,
εἴπων, ἀρκείτω Κέρβερος ὧδε κύων·

Εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι καὶ Μελίτωνι
τῷ μελοποιητῇ καὶ Τιτυῷ μελέτα·
Οὐδὲν γὰρ σοῦ χεῖρον ἔχω κακόν, ἄχρις ἂν ἐλθὼν
ὧδε σολοικίζῃ Ῥοῦφος ὁ γραμματικός.

XXXV

CROSS PURPOSES

NICARCHUS

Δυσκώφῳ δύσκωφος ἐκρίνετο, καὶ πολὺ μᾶλλον
ἦν ὁ κριτὴς τούτων τῶν δύο κωφότερος·
Ὧν ὁ μὲν ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
μηνῶν πένθ'· ὁ δ' ἔφη νυκτὸς ἀληλεκέναι·
Ἐμβλέψας δ' αὐτοῖς ὁ κριτὴς λέγει· ἐς τί μάχεσθε;
μήτηρ ἔσθ' ὑμῶν· ἀμφότεροι τρέφετε.

XXXVI

THE PATENT STOVE

NICARCHUS

Ἠγόρασας χαλκοῦν μιλιάριον, Ἡλιόδωρε,
τοῦ περὶ τὴν Θρᾴκην ψυχρότερον Βορέου·
Μὴ φύσα, μὴ κάμνε· μάτην τὸν καπνὸν ἐγείρεις·
εἰς τὸ θέρος χαλκῆν βαύκαλιν ἠγόρασας.

XXXVII

THE WOODEN HORSE

LUCILIUS

Θεσσαλὸν ἵππον ἔχεις, Ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
οὐ δύνατ' αὐτὸν ὅλης φάρμακα Θεσσαλίης,
Ὄντως δούριον ἵππον, ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
σὺν Δαναοῖς, Σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας·

Ὃν στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

XXXVIII

A MYSTERIOUS DISAPPEARANCE

LUCILIUS

Εἴσιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην
οὐκέτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

XXXIX

CINYRAS THE CILICIAN

DEMODOCUS

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης, καὶ Κινύρης δὲ Κίλιξ.

XL

A GENERATION OF VIPERS

AUTHOR UNKNOWN

Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λαδικέας περίφευγε,
καὶ κύνα λυσσητήν, καὶ πάλι Λαδικέας.

XLI

THE LIFEBOAT

NICARCHUS

Εἶχε Φίλων λέμβον Σωτήριον· ἀλλ' ἐν ἐκείνῳ
σωθῆν' οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται·
Οὔνομα γὰρ μόνον ἦν Σωτήριος· οἱ δ' ἐπιβάντες
ἔπλεον ἢ παρὰ γῆν ἢ παρὰ Φερσεφόνην.

XLII

THE MISER AND THE MOUSE

LUCILIUS

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
καί, τί ποιεῖς, φησίν, φίλτατε μῦ, παρ' ἐμοί;
Ἡδὺ δ' ὁ μῦς γελάσας, μηδέν, φίλε, φησί, φοβηθῇς,
οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

XLIII

VEGETARIANISM

AUTHOR UNKNOWN

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς·
τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρα;
Ἀλλ' ὅταν ἑψηθῇ τι καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.

XLIV

NICON'S NOSE

NICARCHUS

Τοῦ γρυποῦ Νίκωνος ὁρῶ τὴν ῥῖνα, Μένιππε,
αὐτὸς δ' οὖν μακρὰν φαίνεται εἶναι ἔτι·
Πλὴν ἥξει, μείνωμεν ὅμως· εἰ γὰρ πολύ, πέντε
τῆς ῥινὸς σταδίους οἴομαι οὐκ ἀπέχει.
Ἀλλ' αὐτὴ μέν, ὁρᾷς, προπορεύεται· ἢν δ' ἐπὶ βουνὸν
ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

XLV

WHY SO PALE AND WAN, FOND LOVER

ASCLEPIADES

Πῖν' Ἀσκληπιάδη· τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο,
Οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήξατο τόξα καὶ ἰοὺς
πικρὸς Ἔρως· τί ζῶν ἐν σποδιῇ τίθεσαι;

XLVI

THE WORLD'S REVENGE

LUCIAN

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν·
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

XLVII

EPILOGUE

PHILODEMUS

Ἠράσθην· τίς δ' οὐχί; κεκώμακα· τίς δ' ἀμύητος
κώμων; ἀλλ' ἐμάνην· ἐκ τίνος; οὐχὶ θεοῦ;
Ἐρρίφθω· πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
θρὶξ ἤδη, συνετῆς ἄγγελος ἡλικίης.
Καὶ παίζειν ὅτε καιρός, ἐπαίξαμεν· ἡνίκα καὶ νῦν
οὐκέτι, λωϊτέρης φροντίδος ἁψόμεθα.

XI

DEATH

I

THE SPAN OF LIFE

MACEDONIUS

Γαῖα καὶ Εἰλήθυια, σὺ μὲν τέκες, ἡ δε καλύπτεις·
χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον·
Εἶμι δέ, μὴ νοέων πόθι νείσομαι· οὐδὲ γὰρ ὑμέας
ἢ τίνος, ἢ τίς ἐών, οἶδα πόθεν μετέβην.

II

DUSTY DEATH ✓

AUTHOR UNKNOWN

Μὴ μύρα, μὴ στεφάνους λιθίναις στήλαισι χαρίζου,
μηδὲ τὸ πῦρ φλέξῃς· ἐς κενὸν ἡ δαπάνη·
Ζῶντί μοι εἴ τι θέλεις χάρισαι· τέφρην δὲ μεθύσκων
πηλὸν ποιήσεις, κοὐχ ὁ θανὼν πίεται.

III

A CITIZEN OF THE REPUBLIC

LEONIDAS OF TARENTUM

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις· ἡ δὲ περισσὴ
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον

Στήλη, τὸ σκληρὸν νεκρῶν βάρος, οἵ με θανόντα
γνώσοντ', Ἄλκανδρος τοῦθ' ὅτι Καλλιτέλευς.

IV

BENE MERENTI

AUTHOR UNKNOWN

Γαῖα φίλη τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις
πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων·
Καὶ γὰρ ἀεὶ πρέμνον σοι ἐνεστήριξεν ἐλαίης,
πολλάκι καὶ Βρομίου κλήμασιν ἠγλάϊσεν,
Καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον·
Ἀνθ' ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

V

PEACE IN THE END

DIONYSIUS

Πρηΰτερον γῆράς σε καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν, εὐνήθης δ' ὕπνον ὀφειλόμενον
Ἄκρα μεριμνήσας Ἐρατόσθενες· οὐδὲ Κυρήνη
μαῖά σε πατρῴων ἐντὸς ἔδεκτο τάφων,
Ἀγλάου υἱέ, φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

VI

THE WITHERED VINE

LEONIDAS OF TARENTUM

Ἄμπελος ὡς ἤδη κάμακι στηρίζομαι αὔῳ
σκηπανίῳ· καλέει μ' εἰς Ἀΐδην θάνατος·

Δυσκώφει μὴ Γόργε· τί τοι χαριέστερον εἰ τρεῖς
ἢ πίσυρας ποίας θάλψῃ ὑπ' ἠελίῳ ;
Ὧδ' εἴπας οὐ κόμπῳ, ἀπὸ ζωὴν ὁ παλαιὸς
ὥσατο, κὴς πλεόνων ἦλθε μετοικεσίην.

VII

ACCOMPLISHMENT

THEAETETUS

Ἤνδανεν ἀνθρώποις, ὁ δ' ἐπιπλέον ἤνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω·
Γῆ, σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑπεδέξω
ἤ ῥ' ὅγε καὶ ζώει κεῖθι ἐν εὐφροσύνῃ ;

VIII

LOCA PASTORUM DESERTA

AUTHOR UNKNOWN

Νηϊάδες καὶ ψυχρὰ βοαύλια ταῦτα μελίσσαις
οἶμον ἐπ' εἰαρινὴν λέξατε νισσομέναις,
Ὡς ὁ γέρων Λεύκιππος ἐπ' ἀρσιπόδεσσι λαγωοῖς
ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος,
Σμήνεα δ' οὐκέτι οἱ κομέειν φίλον· αἱ δὲ τὸν ἄκρης
γείτονα ποιμένιαι πολλὰ ποθοῦσι νάπαι.

IX

THE OLD SHEPHERD

LEONIDAS OF TARENTUM

Ποιμένες οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε
αἶγας κεὐείρους ἐμβατέοντες ὄϊς,
Κλειταγόρῃ, πρὸς Γῆς, ὀλίγην χάριν ἀλλὰ προσηνῆ
τίνοιτε χθονίης εἵνεκα Φερσεφόνης·

Βληχήσαιντ' ὄϊές μοι, ἐπ' ἀξέστοιο δὲ ποιμὴν
πέτρης συρίζοι πρηέα βοσκομέναις,
Εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
χωρίτης στεφέτω τύμβον ἐμὸν στεφάνῳ,
Καί τις ἀπ' εὐάρνοιο καταρραίνοιτο γάλακτι
οἰός, ἀμολγαῖον μαστὸν ἀνασχόμενος,
Κρηπῖδ' ὑγραίνων ἐπιτύμβιον· εἰσὶ θανόντων,
εἰσὶν ἀμοιβαῖαι κἀν φθιμένοις χάριτες.

X

THE DEAD FOWLER

MNASALCAS

Ἀμπαύσει καὶ τῆδε θοὸν πτερὸν ἱερὸς ὄρνις
τᾶσδ' ὑπὲρ ἀδείας ἑζόμενος πλατάνου,
Ὤλετο γὰρ Ποίμανδρος ὁ Μάλιος, οὐδ' ἔτι νεῖται
ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.

XI

THE ANT BY THE THRESHING-FLOOR

ANTIPATER OF SIDON

Αὐτοῦ σοὶ παρ' ἅλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ,
ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν
Ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ
θέλγῃ ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.

XII

THE TAME PARTRIDGE

SIMMIAS

Οὐκέτ' ἀν' ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,
ἠχήεσσαν ἵης γῆρυν ἀπὸ στομάτων,

Θηρεύων βαλίους συνομήλικας ἐν νομῷ ὕλης·
ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.

XIII

THE SILENT SINGING-BIRD

TYMNES

Ὄρνεον ὦ Χάρισιν μεμελημένον, ὦ παρόμοιον
ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,
Ἡρπάσθης, φίλ' ἐλαιέ· σὰ δ' ἤθεα καὶ τὸ σὸν ἡδὺ
πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

XIV

THE FIELDS OF PERSEPHONE

ARISTODICUS

Οὐκέτι δή σε λίγεια κατ' ἀφνεὸν Ἀλκίδος οἶκον
ἀκρὶ μελιζομέναν ὄψεται ἀέλιος·
Ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι
καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.

XV

THE DISCONSOLATE SHEPHERD

THEOCRITUS

Ὦ δείλαιε τὺ Θύρσι, τί τοι πλέον εἰ καταταξεῖς
δάκρυσι διγλήνως ὦπας ὀδυρόμενος;
Οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν,
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος,
Αἱ δὲ κύνες κλαγγεῦντι· τί τοι πλέον, ἀνίκα τήνας
ὀστέον οὐδὲ τέφρα λείπετ' ἀποιχομένας;

XVI

LAMPO THE HOUND

ANTIPATER OF SIDON

Θηρευτὴν Λάμπωνα Μίδου κύνα δίψα κατέκτα
καίπερ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον·
Ποσσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον, ἀλλὰ τὸ νωθὲς
πίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ,
Πίπτε δ' ἀπαυδήσας· ἡ δ' ἔβλυσεν. ἦ ἄρα, Νύμφαι,
Λάμπωνι κταμένων μῆνιν ἔθεσθ' ἐλάφων.

XVII

STORM ON THE HILLS

DIOTIMUS

Αὐτόμαται δειλῇ ποτὶ ταῦλιον αἱ βόες ἦλθον
ἐξ ὄρεος πολλῇ νιφόμεναι χιόνι·
Αἰαί, Θηρίμαχος δὲ παρὰ δρυὶ τὸν μακρὸν εὕδει
ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

XVIII

A WET NIGHT

ANTIPATER OF SIDON

Οὐκ οἶδ' εἰ Διόνυσον ὀνόσσομαι ἢ Διὸς ὄμβρον
μέμψομ', ὁλισθηροὶ δ' εἰς πόδας ἀμφότεροι·
Ἀγρόθε γὰρ κατιόντα Πολύξενον ἔκ ποτε δαιτὸς
τύμβος ἔχει γλίσχρων ἐξεριπόντα λόφων,
Κεῖται δ' Αἰολίδος Σμύρνης ἑκάς. ἀλλά τις ὄρφνης
δειμαίνοι μεθύων ἀτραπὸν ὑετίην.

XIX

FAR FROM HOME

TYMNES

Μὴ σοὶ τοῦτο, Φιλαινί, λίην ἐπικαίριον ἔστω
εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες,
Ἀλλά σ' Ἐλευθέρνης ὅδ' ἔχει τάφος· ἔστι γὰρ ἴση
πάντοθεν εἰς Ἀΐδην ἐρχομένοισιν ὁδός.

XX

DEATH AT SEA

SIMONIDES

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις· ἐν δέ σε πόντῳ,
Κλείσθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου
Πλαζόμενον, γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες, οὐδ' ἵκευ Χῖον ἐπ' ἀμφιρύτην.

XXI

AT THE WORLD'S END

CRINAGORAS

Δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
ἐλπίσιν, ἀτηροῦ ληθόμενοι θανάτου;
Ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
ἄρτιος· ἀλλ' ἤβης βαιὸν ἐπαυρόμενος,
Ὑστατίοις ἐν Ἴβηρσι, τόσον δίχα τηλόθι Λέσβου,
κεῖται ἀμετρήτων ξεῖνος ἐπ' αἰνιαλῶν.

XXII

IN LIMINE PORTUS

ANTIPHILUS

Ἤδη που πάτρης πελάσας σχεδόν, αὔριον, εἶπον
ἡ μακρὴ κατ' ἐμοῦ δυσπνοίη κοπάσει·
Οὔπω χεῖλος ἔμυσε, καὶ ἦν ἴσος Ἄϊδι πόντος,
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
Πάντα λόγον πεφύλαξο τὸν αὔριον· οὐδὲ τὰ μικρὰ
λήθει τὴν γλώσσης ἀντίπαλον Νέμεσιν.

XXIII

DROWNED IN HARBOUR

ANTIPATER OF THESSALONICA

Μηδ' ὅτ' ἐπ' ἀγκύρης ὀλοῇ πίστευε θαλάσσῃ,
ναυτίλε, μηδ' εἴ τοι πείσματα χέρσος ἔχοι·
Καὶ γὰρ Ἴων ὅρμῳ ἐνικάππεσεν, ἐς δὲ κόλυμβον
ναύτου τὰς ταχινὰς οἶνος ἔδησε χέρας.
Φεῦγε χοροιτυπίην ἐπινήϊον· ἐχθρὸς Ἰάκχῳ
πόντος· Τυρσηνοὶ τοῦτον ἔθεντο νόμον.

XXIV

IN SOUND OF THE SEA

ANTIPATER OF THESSALONICA

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλασσα
Λῦσιν ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
Στρηνὲς ἀεὶ φωνεῦσα παρ' οὔατι καὶ παρὰ κωφὸν
σῆμα· τί μ', ὦνθρωποι, τῇδε παρῳκίσατε

Ἦ πνοίης χήρωσε τὸν οὐκ ἐπὶ φορτίδι νηῒ
ἔμπορον, ἀλλ' ὀλίγης ναυτίλον εἰρεσίης,
Θηκαμένη ναυηγόν ; ὁ δ' ἐκ πόντοιο ματεύων
ζωήν, ἐκ πόντου καὶ μόρον εἰλκυσάμην.

XXV

THE EMPTY HOUSE

ANTIPATER OF THESSALONICA

Δύσμορε Νικάνωρ πολιῷ μεμορημένε πόντῳ,
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι
Ἦ σύ γε πρὸς πέτρῃσι· τὰ δ' ὄλβια κεῖνα μέλαθρα
φροῦδά τε καὶ πάσης ἐλπὶς ὄλωλε Τύρου,
Οὐδέ τί σε κτεάνων ἐρρύσατο· φεῦ, ἐλεεινέ,
ὤλεο μοχθήσας ἰχθύσι καὶ πελάγει.

XXVI

THE SEA'S HARVEST

ISIDORUS AEGEATES

Ἔκ με γεωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
εἵλκυσεν ὀθνείης ἔμπορον ἐργασίης,
νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός· ἀλλ' ἅμα νηῒ
πρηνιχθεὶς κείνης ὕδασιν ἐγκατέδυν
ἀθρόον ἐμβρίσαντος ἀήματος· οὐκ ἄρ' ἁλωὰς
αὐτὸς ἐπιπνείει κεὶς ὀθόνας ἄνεμος.

XXVII

THE SINKING OF THE PLEIAD

AUTOMEDON

Ἄνθρωπε ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος ἴσθι· καὶ ὡς οὐ πολὺς ἀνδρὶ βίος·

Δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
ἠπείγευ, κοίλης ἔμπορος ἐκ Συρίης,
Ἔμπορος ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτὴν
ποντοπορῶν, αὐτῇ Πλειάδι συγκατέδυς.

XXVIII

A RESTLESS GRAVE

ARCHIAS

Οὐδὲ νέκυς ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
κύμασιν ἀγρύπνων λήσομαι ἠϊόνων·
Ἦ γὰρ ἁλιρρήκτοις ὑπὸ δειράσιν, ἀγχόθι πόντου
δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου,
Αἰεὶ δὲ βρομέοντα καὶ ἐν νεκύεσσι θαλάσσης
ὁ τλήμων ἀΐω δοῦπον ἀπεχθόμενον.

XXIX

TELLURIS AMOR

CRINAGORAS

Ποιμὴν ὦ μάκαρ, εἴθε κατ' οὔρεος ἐπροβάτευον
κἠγώ, ποιηρὸν τοῦτ' ἀνὰ λευκόλοφον,
Κριοῖς ἀγητῆρσι βοτὰ βληχώμεν' ὀπάζων,
ἢ πικρῇ βάψαι νήοχα πηδάλια
Ἅλμῃ· τοιγὰρ ἔδυν ὑποβένθιος· ἀμφὶ δὲ ταύτην
θῖνά με ῥοιβδήσας Εὖρος ἀπημέσατο.

XXX

A GRAVE BY THE SEA

ASCLEPIADES

Ὀκτώ μευ πήχεις ἄπεχε τρηχεῖα θάλασσα
καὶ κύμαινε βόα θ' ἡλίκα σοι δύναμις·

Ἦν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
κρήγυον, εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.

XXXI

AN EMPTY TOMB

CALLIMACHUS

Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν.
Νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς· ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

XXXII

THE DAYS OF THE HALCYONS

APOLLONIDES

Καὶ πότε δινήεις ἄφοβος πόρος, εἰπέ, θάλασσα,
εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα,
Ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
νήνεμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην;
Ἀλλὰ καὶ ἠνίκα μαῖα καὶ ὠδίνεσσιν ἀπήμων
αὐχεῖς, σὺν φόρτῳ δύσας Ἀριστομένην.

XXXIII

A WINTER VOYAGE

AUTHOR UNKNOWN

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
Ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

XXXIV

THE DEAD CHILD

AUTHOR UNKNOWN

Οὔπω τοι πλόκαμοι τετμημένοι, οὐδὲ σελάνας
τοὶ τριετεῖς μηνῶν ἀνιοχεῦντο δρόμοι,
Κλεύδικε, Νικασὶς ὅτε σὰν περὶ λάρνακα μάτηρ,
τλᾶμον, ἐπ' αἰακτῷ πόλλ' ἐβόασε τάφῳ
Καὶ γενέτας Περίκλειτος· ἐπ' ἀγνώτῳ δ' Ἀχέροντι
ἡβάσεις ἤβαν, Κλεύδικ', ἀνοστοτάταν.

XXXV

THE LITTLE SISTER

LEONIDAS OF TARENTUM

Ἡ παῖς ὤχετ' ἄωρος ἐν ἑβδόμῳ ἥδ' ἐνιαυτῷ
εἰς Ἀΐδην, πολλῆς ἡλικίης προτέρη,
Δειλαία ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφὸν
νήπιον ἀστόργου γευσάμενον θανάτου.
Λίαῖ, λυγρὰ παθοῦσα Περιστερί, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.

XXXVI

PERSEPHONE'S PLAYTHING

AUTHOR UNKNOWN

Ἀΐδη ἀλλιτάνευτε καὶ ἄτροπε, τίπτε τοι οὕτω
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
Ἔσται μὰν ὅ γε παῖς ἐν δώμασι Φερσεφονείοις
παίγνιον· ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

XXXVII

CHILDLESS AMONG WOMEN

LEONIDAS OF TARENTUM

Ἀ δείλ' Ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἡ τὸν ἐν ἥβης
ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
Ὀκτωκαιδεκέτης ὃς ἀπώλεο, τέκνον· ἐγὼ δὲ
ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη.
Βαίην εἰς Ἅιδος σκιερὸν δόμον· οὔτε μοι ἠὼς
ἡδεῖ, οὔτ' ἀκτὶς ὠκέος ἠελίου·
Ἀ δείλ' Ἀντίκλεις, μεμορημένε, πένθεος εἴης
ἰητήρ, ζωῆς ἔκ με κομισσάμενος.

XXXVIII

FATE'S PERSISTENCY

PHILIPPUS

Ἡ πυρὶ πάντα τεκοῦσα Φιλαίνιον, ἡ βαρυπενθὴς
μήτηρ, ἡ τέκνων τρισσὸν ἰδοῦσα τάφον,
Ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα· ἦ γὰρ ἐώλπειν
πάντως μοι ζήσειν τοῦτον ὃν οὐκ ἔτεκον,
Ἡ δ' εὔπαις θετὸν υἱὸν ἀνήγαγον· ἀλλά με δαίμων
ἤθελε μηδ' ἄλλης μητρὸς ἔχειν χάριτα,
Κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο· νῦν δὲ τεκούσαις
ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

XXXIX

ANTE DIEM

BIANOR

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὔτως
Ἄτταλον; οὐ σὸς ἔην, κἂν θάνε γηραλέος;

XL

UNFORGOTTEN

SIMONIDES

Φῆ ποτε Πρωτόμαχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
Ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ
οὔτ' ἀρετὴν ποθέων οὔτε σαοφροσύνην.

XLI

THE BRIDECHAMBER

ANTIPATER OF SIDON

Ἤδη μὲν κροκόεις Πιτανάτιδι πίτνατο νύμφᾳ
Κλειναρέτᾳ χρυσέων παστὸς ἔσω θαλάμων
Καδεμόνες δ' ἤλποντο διωλένιον φλόγα πεύκας
ἅψειν ἀμφοτέραις ἀνσχόμενοι παλάμαις
Δημὼ καὶ Νίκιππος· ἀφαρπάξασα δὲ νοῦσος
παρθενικάν, Λάθας ἄγαγεν ἐς πέλαγος·
Ἀλγειναὶ δ' ἐκάμοντο συνάλικες οὐχὶ θυρέτρων
ἀλλὰ τὸν Ἀΐδεω στερνοτυπῆ πάταγον.

XLII

BRIDEGROOM DEATH

MELEAGER

Οὐ γάμον ἀλλ' Ἀΐδαν ἐπινυμφίδιον Κλεαρίστα
δέξατο παρθενίας ἄμματα λυομένα·
Ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν
λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
Ἠῷοι δ' ὀλολυγμὸν ἀνέκραγον, ἐκ δ' Ὑμέναιος
σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο,

Αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
πεῦκαι καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

XLIII

THE YOUNG WIFE

JULIANUS AEGYPTIUS

Ὥριος εἶχέ σε παστάς, ἀώριος εἶλέ σε τύμβος
εὐθαλέων Χαρίτων ἄνθος, Ἀναστασίη·
Σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων·
Οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
ἀλλ' ἑκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.

XLIV

SANCTISSIMA CONIUNX

CRINAGORAS

Δειλαίη, τί σε πρῶτον ἔπος τί δὲ δεύτατον εἴπω;
δειλαίη· τοῦτ' ἐν παντὶ κακῷ ἔτυμον·
Οἴχεαι, ὦ χαρίεσσα γύναι, καὶ ἐς εἴδεος ὥρην
τἄκρα καὶ εἰς ψυχῆς ἦθος ἐνεγκαμένη·
Πρώτη σοὶ ὄνομ' ἔσκεν ἐτήτυμον· ἦν γὰρ ἅπαντα
δεύτερ' ἀμιμήτων τῶν ἐπὶ σοὶ χαρίτων.

XLV

SUNDERED HANDS

DAMAGETUS

Ὕστάτιον, Φώκαια κλυτὴ πόλι, τοῦτο Θεανὼ
εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη·

Οἴμοι ἐγὼ δύστηνος, Ἀπέλλιχε, ποῖον, ὅμεννε,
ποῖον ἐπ' οἰκείῃ νηῒ περᾷς πέλαγος·
Αὐτὰρ ἐμεῦ σχεδόθεν μόρος ἵσταται· ὡς ὄφελόν γε
χειρὶ φίλην τὴν σὴν χεῖρα λαβοῦσα θανεῖν.

XLVI

UNDIVIDED

APOLLONIDES

Ἔφθανεν Ἡλιόδωρος, ἐφέσπετο δ' οὐδ' ὅσον ὥρῃ
ὕστερον ἀνδρὶ φίλῳ Διογένεια δάμαρ·
Ἄμφω δ' ὡς συνέναιον ὑπὸ πλακὶ τυμβεύονται
ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.

XLVII

FIRST LOVE

MELEAGER

Δάκρυα σοὶ καὶ νέρθε διὰ χθονός, Ἡλιοδώρα,
δωροῦμαι στοργᾶς λείψανον εἰς Ἀΐδαν,
Δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
σπένδω νᾶμα πόθων, μνᾶμα φιλοφροσύνας·
Οἰκτρὰ γὰρ οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν·
Αἰαῖ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας,
ἅρπασεν, ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
Ἀλλά σε γουνοῦμαι, γᾶ παντρόφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

XLVIII

FIRST FRIENDSHIP

AUTHOR UNKNOWN

Ἁ μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε Μούσαις
χαῖρε καὶ εἰν Ἀΐδεω δώμασι Καλλίμαχε.

XLIX

STREWINGS FOR GRAVES

AUTHOR UNKNOWN

Ἄνθεα πολλὰ γένοιτο νεοδμήτῳ ἐπὶ τύμβῳ,
μὴ βάτος αὐχμηρή, μὴ κακὸν αἰγίπυρον,
Αλλ' ἴα καὶ σάμψυχα καὶ ὑδατίνη νάρκισσος,
Οὐίβιε, καὶ περὶ σοῦ πάντα γένοιτο ῥόδα.

L

THE LIBERATOR

DAMASCIUS

Ζωσίμη ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

LI

DIMITTE MORTUOS

PAULUS SILENTIARIUS

Οὔνομά μοι—τί δὲ τοῦτο; πατρὶς δέ μοι—ἐς τί δὲ τοῦτο;
κλεινοῦ δ' εἰμὶ γένους—εἰ γὰρ ἀφαυροτάτου;
Ζήσας ἐνδόξως ἔλιπον βίον—εἰ γὰρ ἀδόξως;
κεῖμαι δ' ἐνθάδε νῦν—τίς τίνι ταῦτα λέγεις;

LII

MORS IMMORTALIS

AUTHOR UNKNOWN

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον·
πάντας ὁμῶς θνητοὺς εἰς Ἀΐδης δέχεται.

LIII

THE LIGHT OF THE DEAD

PLATO

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

XII

LIFE

I

THE JOY OF YOUTH

RUFINUS

Λουσάμενοι, Προδίκη, πυκασώμεθα καὶ τὸν ἄκρατον
ἕλκωμεν κύλικας μείζονας αἰρόμενοι·
Βαιὸς ὁ χαιρόντων ἐστὶν βίος· εἶτα τὰ λοιπὰ
γῆρας κωλύσει, καὶ τὸ τέλος θάνατος.

II

THE USE OF LIFE

NICARCHUS

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει ἤν τε ποδαγρός,
ἤν τε δρομεὺς γεγονὼς εἰς Ἀΐδην ὑπάγω;
Πολλοὶ γάρ μ' ἀροῦσιν· ἔα χωλόν με γενέσθαι,
τῶνδ' ἕνεκεν γὰρ ἴσως οὔποτ' ἐῶ θιάσους.

III

VAIN RICHES

ANTIPHANES

Ψηφίζεις, κακόδαιμον, ὁ δὲ χρόνος ὡς τόκον οὕτω
καὶ πολιὸν τίκτει γῆρας ἐπερχόμενος,

Κοῦτε πιὼν οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,
οὐ μύρον, οὐ γλαφυρὸν γνούς ποτ' ἐρωμένιον
Τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,
ἐκ πολλῶν ὀβολὸν μοῦνον ἐνεγκάμενος.

IV

MINIMUM CREDULA POSTERO

PALLADAS

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται, οὐδέ τις ἐστὶν
αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος·
Τοῦτο σαφῶς, ἄνθρωπε, μαθὼν εὔφραινε σεαυτόν,
λήθην τοῦ θανάτου τὸν Βρόμιον κατέχων,
Τέρπεο καὶ Παφίῃ, τὸν ἐφημέριον βίον ἕλκων,
τἄλλα δὲ πάντα Τύχῃ πράγματα δὸς διέπειν.

V

DONEC HODIE

AUTHOR UNKNOWN

Πῖνε καὶ εὐφραίνου, τί γὰρ αὔριον ἢ τί τὸ μέλλον;
οὐδεὶς γιγνώσκει· μὴ τρέχε, μὴ κοπία·
Ὡς δύνασαι χάρισαι, μετάδος, φάγε, θνητὰ λογίζου
τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
Πᾶς ὁ βίος τοιόσδε, ῥοπὴ μόνον· ἂν προλάβῃς, σοῦ,
ἂν δὲ θάνῃς, ἑτέρου πάντα, σὺ δ' οὐδὲν ἔχεις.

VI

REQUIESCE ANIMA

MIMNERMUS

Ἥβα μοι, φίλε θυμέ· τάχ' ἄν τινες ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

VII

ONE EVENT

MARCUS ARGENTARIUS

Πέντε θανὼν κείσῃ κατέχων πόδας, οὐδὲ τὰ τερπνὰ
ζωῆς οὐδ' αὐγὰς ὄψεαι ἠελίου·
Ὥστε λαβὼν Βάκχου ζωρὸν δέπας ἕλκε γεγηθώς,
Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον·
Εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι Κλεάνθης
καὶ Ζήνων Ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.

VIII

THE PASSING OF YOUTH

APOLLONIDES

Ὑπνώεις, ὦ 'ταῖρε· τὸ δὲ σκύφος αὐτὸ βοᾷ σε·
ἔγρεο, μὴ τέρπου μοιριδίῃ μελέτῃ·
Μὴ φείσῃ, Διόδωρε, λάβρος δ' εἰς Βάκχον ὀλισθὼν
ἄχρις ἐπὶ σφαλεροῦ ζωροπότει γόνατος·
Ἔσσεθ' ὅτ' οὐ πιόμεσθα πολὺς πολύς· ἀλλ' ἄγ' ἐπείγου·
ἡ συνετὴ κροτάφων ἅπτεται ἡμετέρων.

IX

THE HIGHWAY TO DEATH

ANTIPATER OF SIDON

Ὠκύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων·
εἰμὶ μέν, ἀλλ' οὔ μοι τοῦτο, Σέλευκε, μέλει·
Εἰς Ἀΐδην μία πᾶσι καταίβασις· εἰ δὲ τάχιον
ἡμετέρη, Μίνω θᾶσσον ἐποψόμεθα·
Πίνωμεν· καὶ δὴ γὰρ ἐτήτυμον εἰς ὁδὸν ἵππος
οἶνος, ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς Ἀΐδην.

X

BEFORE THE DELUGE

STRATO

Καὶ πίε νῦν καὶ ἔρα, Δαμόκρατες, οὐ γὰρ ἐς αἰεὶ
πιόμεθ' οὐδ' ἀεὶ τέρψιος ἐξόμεθα·
Καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα καὶ μυρίσωμεν
αὐτούς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
Νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά,
νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

XI

FLEETING DAWN

ASCLEPIADES

Πίνωμεν Βάκχου ζωρὸν πόμα· δάκτυλος ἀώς·
ἦ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν ;
Πίνωμεν γαλερῶς· μετά τοι χρόνον οὐκέτι πουλύν,
σχέτλιε, τὴν μακρὰν νύκτ' ἀναπαυσόμεθα.

XII

OUTRE-TOMBE

JULIANUS AEGYPTIUS

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

XIII

EARTH TO EARTH

ZONAS

Δός μοι τοὐκ γαίης πεπονημένον ἁδὺ κύπελλον,
ἃς γενόμην, καὶ ὑφ' ᾗ κείσομ' ἀποφθίμενος.

XIV

THE COFFIN-MAKER

AUTHOR UNKNOWN

Ἤθελον ἂν πλουτεῖν ὡς πλούσιος ἦν ποτε Κροῖσος
καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης,
Ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγόν,
καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
Ακτήν που πάσσας καὶ ταῖς κοτύλαις ὑποβρέξας
τὴν Ἀσίην πωλῶ πρὸς μύρα καὶ στεφάνους.

XV

RETURNING SPRING

PHILODEMUS

Ἤδη καὶ ῥόδον ἐστί, καὶ ἀκμάζων ἐρέβινθος,
καὶ καυλοὶ κράμβης, Σωσύλε, πρωτοτόμου,
Καὶ μαίνη ζαγλαγεῦσα καὶ ἀρτιπαγὴς ἁλίτυρος
καὶ θριδάκων οὔλων ἁβροφυῆ πέταλα.
Ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν οὔτ' ἐν ἀπόψει
γιγνόμεθ' ὡς αἰεί, Σωσύλε, τὸ πρότερον ;
Καὶ μὴν Ἀντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον,
νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

XVI

A LIFE'S WANDERING

AUTHOR UNKNOWN

Καππαδόκων ἔθνους πολυανθέας οἶδατ' ἀρούρας ;
κεῖθεν ἐγὼ φυόμην ἐκ τοκέων ἀγαθῶν·
Ἐξότε τοὺς λιπόμην, δύσιν ἤλυθον ἠδὲ καὶ ἠῶ·
οὔνομά μοι Γλάφυρος καὶ φρενὸς εἴκελον ἦν·

Ἑξηκοστὸν ἔτος πανελεύθερον ἐξεβίωσα·
καὶ καλὸν τὸ τύχης καὶ πικρὸν οἶδα βίου.

XVII

ECCE MYSTERIUM

BIANOR

Οὗτος ὁ μηδέν, ὁ λιτός, ὁ καὶ λάτρις, οὗτος ἐρᾶται
κἀστί τινος ψυχῆς κύριος ἀλλοτρίης.

XVIII

THE SHADOW OF LIFE

THEOGNIS

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι οἵτε θανόντας
κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

XIX

THE HOUSE OF FAME

CALLIMACHUS

Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν· εἰ δ' ἐπὶ κισσὸν
τὸν τεὸν οὐχ αὕτη, Βάκχε, κέλευθος ἄγει,
Ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίαν.

XX

THE SHADOW OF DEATH

AUTHOR UNKNOWN

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκέτι θρηνῶ,
τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

XXI

PARTA QUIES

PALLADAS

Προσδοκίη θανάτου πολυώδυνός ἐστιν ἀνίη,
τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος·
Μὴ τοίνυν κλαύσῃς τὸν ἀπερχόμενον βιότοιο,
οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

XXII

THE CLOSED ACCOUNT

PHILETAS

Οὐ κλαίω ξείνων σὲ φιλαίτατε· πολλὰ γὰρ ἔγνως
καλά· κακῶν δ' αὖ σοὶ μοῖραν ἔνειμε θεός.

XXIII

THE VOYAGE OF LIFE

PALLADAS

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα·
Τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες
ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν,
Οἱ μὲν ἐπ' εὐπλοίην, οἱ δ' ἔμπαλιν· ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

XXIV

DAILY BIRTH

PALLADAS

Νυκτὸς ἀπερχομένης γεννώμεθα ἦμαρ ἐπ' ἦμαρ
τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι,

Ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς
τοῦ λοιπου δὲ βίου σήμερον ἀρχόμενοι·
Μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν, πρεσβῦτα, περισσῶν,
τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

XXV

THE LIMIT OF VISION

AUTHOR UNKNOWN

Νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλλεον, αὐτίκα δ' ἄλλοι
ὧν ἄμμες γενεὰν οὐκέτ' ἐποψόμεθα.

XXVI

THE BREATH OF LIFE

PALLADAS

Ἠέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες
ζώομεν ἠελίου λαμπάδα δερκόμενοι
Πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον, ὄργανα δ' ἐσμὲν
αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
Εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμήν,
ψυχὴν συλήσας εἰς Ἀΐδην κατάγει·
Οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα
πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

XXVII

TWO ETERNITIES

LEONIDAS OF TARENTUM

Μυρίος ἦν, ὤνθρωπε, χρόνος προτοῦ, ἄχρι πρὸς ἠῶ
ἦλθες, χώ λοιπὸς μύριος εἰς Ἀΐδην·

Τίς μοῖρα ζωῆς ὑπολείπεται ἢ ὅσον ὅσσον
στιγμή, καὶ στιγμῆς εἴ τι χαμηλότερον;
Μικρή σευ ζωὴ τεθλιμμένη· οὐδὲ γὰρ αὐτὴ
ἡδεῖ', ἀλλ' ἐχθροῦ στυγνοτέρη θανάτου.

XXVIII

THE LORD OF LANDS

AMMIANUS

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παρορίζων
γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει,
Κείσῃ δ' Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδέν,
εἰς τὴν οὐκέτι σὴν γῆν ἀναλυόμενος.

XXIX

THE PRICE OF RICHES

PALLADAS

Πλουτεῖς, καὶ τί τὸ λοιπόν; ἀπερχόμενος μετα σαυτοῦ
τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
Τὸν πλοῦτον συνάγεις δαπανῶν χρόνον· οὐ δύνασαι δὲ
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

XXX

THE DARKNESS OF DAWN

AMMIANUS

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται, εἶτ', ἀμελούντων
ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος,
Καὶ τοὺς μὲν τήξας, τοὺς δ' ὀπτήσας, ἐνίους δὲ
φυσήσας, ἄξει πάντας ἐς ἓν βάραθρον.

XXXI

NIL EXPEDIT

PALLADAS

Γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι,
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος ;

XXXII

THE WAY OF THE WORLD

LUCIAN

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

XXXIII

THE SUM OF KNOWLEDGE

AUTHOR UNKNOWN

Οὐκ ἤμην, γενόμην· ἤμην, οὐκ εἰμί· τοσαῦτα·
εἰ δέ τις ἄλλ' ἐρέει, ψεύσεται· οὐκ ἔσομαι.

XXXIV

NIHILISM

GLYCON

Πάντα γέλως καὶ πάντα κόνις καὶ πάντα τὸ μηδέν·
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

XXXV

NEPENTHE

AUTHOR UNKNOWN

Πῶς γενόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν.
πῶς δύναμαί τι μαθεῖν, μηδὲν ἐπιστάμενος;
Οὐδὲν ἐὼν γενόμην· πάλιν ἔσσομαι ὡς πάρος ἦα·
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
Ἀλλ' ἄγε μοι Βάκχοιο φιλήδονον ἔντυε νᾶμα·
τοῦτο γάρ ἐστι κακῶν φάρμακον ἀντίδοτον.

XXXVI

THE SLAUGHTER-HOUSE

PALLADAS

Πάντες τῷ θανάτῳ τηρούμεθα καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

XXXVII

LACRIMAE RERUM

PALLADAS

Δακρυχέων γενόμην καὶ δακρύσας ἀποθνήσκω
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
Ὦ γένος ἀνθρώπων πολυδάκρυον, ἀσθενές, οἰκτρόν,
συρόμενον κατὰ γῆς καὶ διαλυόμενον.

XXXVIII

THE WORLD'S WORTH

AESOPUS

Πῶς τις ἄνευ θανάτου σε φύγῃ, βίε; μυρία γάρ σευ
λυγρά, καὶ οὔτε φυγεῖν εὐμαρὲς οὔτε φέρειν·

Ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου,
Τἄλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

XXXIX

PIS-ALLER

THEOGNIS

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
Φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

XL

THE SORROW OF LIFE

POSIDIPPUS

Ποίην τις βιότοιο τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
Φροντίδες· ἐν δ' ἀγροῖς καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ
τάρβος· ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος,
Ἢν δ' ἀπορῇς, ἀνιηρόν· ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερος·
Τέκνα πόνοι· πήρωσις ἄπαις βίος· αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
Ἢν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ' ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

XLI

THE JOY OF LIFE

METRODORUS

Παντοίην βιότοιο τάμοις τρίβον· εἰν ἀγορῇ μὲν
κύδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
Ἄμπαυμ'· ἐν δ' ἀγροῖς φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος· ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος,
Ἢν δ' ἀπορῇς, μόνος οἶδας· ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερος·
Τέκνα πόθος· ἄφροντις ἄπαις βίος· αἱ νεότητες
ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες·
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ' ἢ τὸ θανεῖν· πάντα γὰρ ἐσθλὰ βίῳ.

XLII

QUIETISM

PALLADAS

Τίπτε μάτην, ἄνθρωπε, πονεῖς καὶ πάντα ταράσσεις
κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;
Τούτῳ σαυτὸν ἄφες· τῷ δαίμονι μὴ φιλονείκει·
σὴν δὲ τύχην στέργων ἡσυχίην ἀγάπα.

XLIII

EQUANIMITY

PALLADAS

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

XLIV

THE RULES OF THE GAME

PALLADAS

Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν
τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.

XLV

THE ONE HOPE

PAULUS SILENTIARIUS

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥίψαι
φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.
Πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον, ἡ δὲ περισσὴ
θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη·
Ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
καὶ πενίην πλούτου, καὶ βιότου θάνατον.
Ταῦτα σὺ γιγνώσκων κραδίης ἴθυνε κελεύθους
εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

XLVI

AMOR MYSTICUS

MARIANUS

Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον οἵ τ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
Ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
στέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἔπ' ἄλλο φέρεις;
Οὐκ ἀπὸ πανδήμου, ξένε, Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμὶ καὶ ὑλαίης ἔκγονος εὐφροσύνης,

Ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω·
Εκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

XLVII

THE LAST WORD

PALLADAS

Πολλὰ λαλεῖς, ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν·
σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

INDEX I

AUTHORS OF EPIGRAMS

ADDAEUS, v. 12; vi. 18.
Aeschylus, iii. 9, 13.
Aesopus, xii. 38.
Agathias, i. 9, 29, 34; ii. 45; iii. 60; iv. 43; v. 2; vii. 9, 15; ix. 22.
Alcaeus of Messene, iv. 18, 20; vi. 2.
Alpheus, ii. 4; iv. 3; ix. 23.
Ammianus, xii. 28, 30.
Anacreon, iii. 8.
Antipater of Sidon, ii. 8, 30, 42; iii. 27; iv. 2, 4, 9, 10, 46; vi. 27; vii. 19; ix. 11, 20; xi. 11, 16, 18, 41; xii. 9.
Antipater of Thessalonica, i. 23; ii. 8; iii. 44; iv. 22; vii. 7; ix. 14, 21, 25; xi. 23-25.
Antiphanes, xii. 3.
Antiphilus, ii. 3, 12; vi. 17; x. 9; xi. 22.
Anyte, ii. 37; vi. 14, 24.
Apollonides, ii. 9; ix. 13; xi. 32, 46; xii. 8.
Arabius, iv. 38; vi. 29.
Archias, ii. 39; iv. 21; v. 7, 8; xi. 28.
Aristodicus, xi. 14.
Ariston, iv. 27.
Artemidorus, iv. 33.
Asclepiades, i. 2, 8, 27, 28, 66, 69; ix. 8; x. 45; xi. 30; xii. 11.
Asclepiodotus, ix. 19.
Automedon, xi. 27.

BACCHYLIDES, ii. 35.
Bianor, vii. 18; xi. 39; xii. 17.

CALLIMACHUS, i. 13, 37; ii. 13, 26; iii. 22, 36, 42, 62, 67; iv. 26, 29-31; vii. 12, 13; viii. 4; ix. 15; xi. 31; xii. 19.
Carphyllides, vii. 22.
Cometas, vi. 10.
Crinagoras, ii. 2, 41; v. 17; vii. 4; xi. 21, 29, 44.

DAMAGETUS, iii. 25; xi. 45.
Damascius, xi. 50.
Demodocus, x. 39.
Diodorus, iii. 47, 48.
Dionysius, ii. 18; x. 2; xi. 5.
Dioscorides, i. 58; iii. 55; iv. 11.
Diotimus, iii. 41; xi. 17.

ERATOSTHENES, x. 7.
Erinna, iii. 43; iv. 34.
Erycius, iii. 16.
Euenus, vi. 19; ix. 30.
Euphorion, iii. 14; vii. 6.

GAETULICUS, ii. 25.
Glaucus, iii. 23; viii. 11.
Glycon, xii. 34.

HEGESIPPUS, ii. 28.
Hermocreon, ii. 16; vi. 7.

ISIDORUS AEGEATES, xi. 26.

JOANNES BARBUCALLUS, vii. 8, 20.
Julianus Aegyptius, x. 10; xi. 43; xii. 12.
Julius Polyaenus, ii. 1; ix. 35.

LEONIDAS of Tarentum, ii. 24; iii. 20, 26, 52; iv. 7; v. 10, 13; vi. 3, 26; ix. 28; x. 4; xi. 3, 6, 9, 35, 37; xii. 27.
Leontius, iv. 19.
Lucian, iii. 34; x. 46; xii. 32.
Lucilius, iv. 24; x. 13, 16, 18-25, 28, 31, 34, 37, 38, 42.

MACEDONIUS, i. 22, 36, 43; ii. 5, 7; v. 4; vii. 1; ix. 9, 10; xi. 1.
Maecius, i. 63; ii. 10.
Marcus Argentarius, i. 4, 38, 53; vi. 16; ix. 1, 16; x. 8; xii. 7.
Marianus, vi. 9; xii. 46.
Meleager, i. 6, 10-12, 16-20, 24, 25, 32, 42, 45-49, 51, 52, 54-56, 59-62, 64, 65, 67, 68, 70-75; iv. 16, 17; vii. 11; viii. 1, 3, 6, 8-10, 13, 14; ix. 12; xi. 42, 47.
Metrodorus, xii. 41.
Mimnermus, xii. 6.
Mnasalcas, ii. 40; iii. 5; vi. 23; viii. 12; xi. 10.
Moero, ii. 20.
Moschus, iv. 37.
Myrinus, vi. 22.

NICAENETUS, iii. 29; vi. 28.
Nicarchus, x. 3, 14, 17, 26, 27, 29, 30, 32, 35, 36, 41, 44; xii. 2.
Nicias, ii. 29; iii. 31; v. 6.
Nossis, i. 3; iv. 15.

PALLADAS, ii. 27; ix. 34; x. 15; xii. 4, 21, 23, 24, 26, 29, 31, 36, 37, 42-44, 47.
Pamphilus, vi. 21.
Parmenio, iii. 3.
Parrhasius, iv. 47.
Paulus Silentiarius, i. 14, 15, 21, 26, 33, 35; ii. 43; vii. 2; xi. 51; xii. 45.
Perses, v. 11.
Phaedimus, iii. 30; vii. 14.
Phaennus, iii. 59.
Phanias, iii. 40.
Philetas, xii. 22.
Philippus, ii. 11, 14, 33; xi. 38.
Philodemus, i. 31, 39; ii. 6; vii. 3; x. 47; xii. 15.
Plato, ii. 22; iii. 11, 12, 17, 18; iv. 14, 45; vi. 5, 8; viii. 5, 7; ix. 18, 31; xi. 53.
Pompeius, ix. 24.
Posidippus, i. 1; ii. 21; iv. 5; xii. 40.
Ptolemaeus, iv. 32.

RHIANUS, viii. 2.
Rufinus, i. 7, 30; ix. 2; xii. 1.

SATYRUS, v. 9; vi. 15.
Secundus, ix. 6.
Simmias, iv. 12; xi. 12.
Simonides, iii. 1, 2, 4, 6, 10, 24, 61, 63, 66; x. 5; xi. 20, 40.
Strato, i. 5, 76; ix. 3, 7; x. 1; xii. 10.

THEAETETUS, iii. 28; vii. 16; xi. 7.
Theaetetus Scholasticus, v. 1.
Theocritus, ii. 15, 19, 38; iv. 23; vi. 13; vii. 10; xi. 15.
Theodorides, iii. 19.
Theognis, xii. 18, 39.
Theophanes, i. 41.
Thucydides, iv. 13.
Thymocles, ix. 5.
Tymnes, iii. 58; xi. 13, 19.

ZONAS, ii. 31, 32; xii. 13

INDEX II

FIRST LINES OF EPIGRAMS

Ἀ δείλ' Ἀντίκλεις, . xi. 37
Ἁ Κύπρις οὐ πάνδαμος, . vii. 10
Ἁ Κύπρις τὰν Κύπριν, . iv. 40
Ἁ Κύπρον ἅ τε Κύθηρα, ii. 21
Ἁ μάκαρ ἀμβροσίῃσι, . xi. 48
Ἁ πάρος ἄδμητος, . . ix. 26
Ἁ πολὺ Σειρήνων, . . iii. 46
Ἁ φίλερως χαροποῖς, . i. 56
Ἁ ψυχὴ βαρύμοχθε, . i. 74
Ἁβροῦς ναὶ τὸν Ἔρωτα, . viii. 8
Ἄγγελον τάδε Δορκάς, . i. 32
Ἄγγελε Περσεφόνης Ἑρμῆ, iii. 35
Ἀγνὰς χεῖρας ἔχων, . v. 16
Ἁγνὸν χρὴ νηοῖο, . . v. 15
Ἀγρὸς Ἀχαιμενίδου, . ix. 32
Ἀγχιάλου ῥηγμῖνος ἐπίσκοπε, . . . ii. 25
Ἄδιον οὐδὲν ἔρωτος, . i. 3
Ἀδὺ μέλος ναὶ Πᾶνα, . i. 59
Ἀέναον Καθαρήν με, . vi. 12
Αἱ Χάριτες τέμενος, . iv. 14
Αἰάζω Πολύανθον, . . iii. 30
Αἰγιαλῖτα Πρίηπε, . ii. 10
Αἰγιβάτῃ τόδε Πανί, . ii. 34
Ἀΐδη ἀλλιτάνευτε, . xi. 36
Αἰεί μοι δινεῖ μέν, . . i. 10
Αἴλινον ὠκυμόρῳ με, . iii. 48
Αἰπολικαὶ σίριγγες, . viii. 10
Αἰσχυλον Εὐφορίωνος, . iii. 13
Αἰὼν πάντα φέρει, . ix. 18
Αἰωρῇ θήρειον ἱμασσόμενος, . . . iv. 21
Ἀκμαῖος ῥοθίῃ νηῒ δρόμος, vi. 27
Ἀκρὶς ἐμῶν ἀπάτημα, . i. 64
Ἅλσος μὲν Μούσαις, . iv. 1
Ἀμπαύσει καὶ τῇδε, . xi. 10
Ἄμπελε μήποτε φύλλα, . viii. 12
Ἀμπελος ὡς ἤδη, . . xi. 6
Ἀνδροκλος ὤπολλον, . ii. 43
Ἀνδρομάχης ἔτι θρῆνον, iv. 3
Ἀνέρα λυσσητῆρι, . . i. 14
Ἄνθεα πολλὰ γένοιτο, . xi. 49
Ἀνθοῖαιτε μέλισσα, . i. 60
Ἄνθρωπε ζωῆς περιφείδεο, xi. 27
Ἀντὶ βοὸς χρυσέου, . ii. 27
Ἀρθεὶς ἐξ αὔρης, . . x. 25
Ἀρκεῖ μοι γαίης, . . xi. 3
Ἀρνεῖται τὸν Ἔρωτα, . viii. 3
Ἄρπασται· τίς τόσσον, . i. 17
Ἀρχέλεώ με δάμαρτα, . iii. 49
Ἀρχέλεως λιμενῖτα, . ii. 3
Ἄρτεμι σοὶ τὰ πέδιλα, . vii. 14
Ἄρτι λοχευομένην σε, . iv. 6
Ἄρτι με γευόμενον, . iii. 33
Ἀρτιχανῆ ῥοιάν τε, . ii. 31
Ἄσβεστον κλέος οἶδε, . iii. 2
Ἀσπίδα φρῖνον ὄφιν, . x. 40
Ἄσπορα Πὰν λοφιῆτα, . ii. 45
Ἀστέρας εἰσαθρεῖς, . viii. 7
Ἀστὴρ πρὶν μὲν ἔλαμπες, xi. 53
Ἀτδὶ κόρα μελίθρεπτε, . vi. 19
Ἀτθὶς ἐγώ· κείνη γάρ, . iii. 16
Ἀτθὶς ἐμοὶ ζήσασα, . iii. 51
Ἀτρέμας, ὦ ξένε, βαῖνε, . iv. 16
Ἀθλακι καὶ γήρᾳ, . . vi. 18
Αὔριον ἀθρήσω σε, . ix. 9
Αὐσονίη ἐμοὶ Λίβυσσαν, . iii. 44
Αὐτόμαται δειλῇ, . . xi. 17

Αὐτομάτως Σατυρίσκε, . iv. 43
Αὐτοῦ μοι στέφανοι, . i. 69
Αὐτοῦ σοὶ παρ' ἅλωνι, . xi. 11
Αὐτῷ καὶ τεκέεσσι, . vii. 17
Ἄφρονες ἄνθρωποι, . xii. 18
Ἀχήεις τέττιξ, . . i. 65

Βαιὸς ἰδεῖν ὁ Πρίηπος, . v. 8
Βεβλήσθω κύβος· ἅπτε, . i. 6
Βιθυνὶς Κυθέρη με, . vii. 7
Βωκολικαὶ Μοῖσαι, . iv. 33

Γαῖα καὶ Εἰλήθυια, . xi. 1
Γαῖα φίλη τὸν πρέσβυν, . xi. 4
Γάϊος ἐκπνεύσας, . . x. 20
Γῆς ἐπέβην γυμνός, . xii. 31
Γλευκοπόταις Σατύροισι, x. 4

Δάκρυά σοι καὶ νέρθε, . xi. 47
Δακρυχέων γενόμην, . xii. 37
Δαμοκρίτῳ μὲν ἐγώ, . iii. 59
Δάφνην καὶ Νιόβην, . x. 15
Δάφνις ὁ λευκόχρως, . ii. 38
Δειλαίη τί σε πρῶτον, . xi. 44
Δείλαιοι τί κεναῖσιν, . xi. 21
Δεινὸς Ἔρως δεινός, . i. 71
Δέξαι μ' Ἡράκλεις, . ii. 28
Δηθύνει Κλεοφάντις, . i. 26
Δηοῖ λικμαίῃ, . . ii. 32
Δικλίδας ἀμφετίναξεν, . i. 35
Δίκτυον ἀκρομόλιβδον, . ii. 7
Δίνδυμα καὶ Φρυγίης, . ii. 24
Δίρφυος ἐδμήθημεν, . iii. 10
Δός μοι τοὔκ γαίης, . xii. 13
Δράγματά σοι χώρου, . ii. 33
Δυσκώφῳ δύσκωφος, . x. 35
Δύσμορε Νικάνωρ, . . xi. 25
Δωδεκέτη τὸν παῖδα, . iii. 36
Δωρίχα ὀστέα μὲν σά, . iv. 5

Ἔγχει καὶ πάλιν εἰπὲ
Διοκλέος, . . . viii. 4

Ἔγχει καὶ πάλιν εἰπὲ
πάλιν, . . . i. 55
Ἔγχει Λυσιδίκης, . . i. 53
Ἔγχει τᾶς Πειθοῦς, . i. 54
Εἰ καὶ ἄπιστα κλύουσι, . iv. 47
Εἰ καὶ ἐρημαίη, . . ix. 24
Εἰ καί σευ πολύφωνος, . ii. 1
Εἰ καί σοι ἑδραῖος, . . v. 17
Εἰ καὶ τηλοτέρω, . . i. 15
Εἰ κάλλει καυχᾷ, . . ix. 3
Εἴ με Πλάτων οὐ γράψε, iv. 28
Εἰ μὲν ἀπὸ Σπάρτης, . ix. 22
Εἰ μὲν γηράσκει, . . ix. 7
Εἴ τις ἅπαξ γήμας, . x. 12
Εἰ τὸ καλῶς θνήσκειν, . iii. 1
Εἰ τὸ φέρον σε φέρει, . xii. 43
Εἴαρος ἤνθει μέν, . . vii. 4
Εἴη ποντοπόρῳ πλόος, . iii. 20
Εἴθε κρίνον γενόμην, . i. 41
Εἴθε με παντοίοισιν, . . ix. 21
Εἴθε ῥόδον γενόμην, . . i. 40
Εἰκόνα μὲν Παρίην, . viii. 6
Εἴκοσι γεννήσας, . . x. 16
Εἰμὶ μὲν οὐ φιλόοινος, . i. 9
Εἰνοδίῃ σοὶ τόνδε, . . ii. 12
Εἰνόδιον στείχοντα, . viii. 1
Εἰνοσίφυλλον ὄρος, . v. 6
Εἴπατε ἥλιε χαῖρε, . . iv. 29
Εἰπέ τις Ἡράκλειτε, . iv. 30
Εἰς Ἀΐδην ἰθεῖα, . . iii. 15
Εἰς ὅδε Νικάνδρου, . iii. 32
Εἰς Ῥόδον εἰ πλεύσει, . x. 32
Εἴσιδεν Ἀντίοχος, . . x. 38
Εἴτε σύ γ' ὀρνεόφοιτον, . v. 9
Εἶχε Φίλων λέμβον, . x. 41
Ἐκ ζωῆς με θεοί, . . iv. 42
Ἐκ με γεωμορίης, . . xi. 26
Ἕλκος ἔχω τὸν ἔρωτα, . i. 43
Ἕλκος ἔχων ὁ ξεῖνος, . i. 13
Ἐλπίδος οὐδὲ Τύχης, . ix. 34
Ἐλπὶς ἀεὶ βιότου, . . ix. 35
Ἐλπὶς καὶ σὺ Τύχη, . ix. 33
Ἔμπνει Πὰν λαροῖσιν, . vi. 2

Ἐν πᾶσιν μεθύουσιν, . x. 46
Ἐν σοὶ τᾶμὰ Μυῖσκε, . viii. 9
Ἐνθάδε γῆ κατέχει, . iii. 54
Ἐντὸς ἐμῆς κραδίης, . i. 75
Ἐξ ἀταλὰν χειρῶν, . iv. 34
Ἐξ ἀτόμων Ἐπίκουρος, . x. 24
Ἐξ ὥραι μόχθοις, . . x. 11
Ἑξηκοντούτης Διονύσιος, iii. 65
Ἑρμαίοις ἡμὶν Ἀφροδίσιος, x. 3
Ἑρμᾶς τᾷδ' ἕστακα, . vi. 14
Ἑρμογένη τὸν ἰατρὸν ἰδών, x. 28
Ἑρμογένη τὸν ἰατρὸν ὁ ἀστρολόγος, . . x. 27
Ἔρχεο καὶ κατ' ἐμὰν ἴζευ, vi. 6
Ἐς πόσιν ἀθρήσασα, . vii. 20
Ἑσπερίην Μοῖρίς με, . i. 5
Εὐάγρει λαγώθηρα, . v. 10
Εὐβοίης γένος ἐσμέν, . iii. 12
Εὔδεις Ζηνοφίλα, . . i. 42
Εὔδεις φυλλοστρῶτι πέδῳ, vi. 13
Εὔδημος τὸν νηόν, . . ii. 35
Εὔδια μὲν πόντος, . . v. 2
Εὐμαθίην ᾖτεῖτο, . . iv. 26
Εὕρου με τρηχεῖα, . . iii. 26
Εὐσεβίη τὸ μέλαθρον, . vii. 1
Εὔφορτοι νᾶες πελαγίτιδες, . . . vii. 11
Ἔφθανεν Ἠλιόδωρος, . xi. 46
Ἐφθέγξω ναὶ Κύπριν, . ix. 12
Ἐχθαίρω τὸ ποίημα, . iv. 31

Ζηνὸς καὶ Λητοῦς, . . ii. 14
Ζῶειν εἰναλίη Οἴτι, . ix. 19
Ζωσίμη ἡ πρὶν οὖσα, . xi. 50

Ἡ Καθαρή, Νύμφαι γάρ, ix. 13
Ἡ παῖς ᾤχετ' ἄωρος, . xi. 35
Ἡ πολὺ Σειρήνων, . iii. 46
Ἦ πού σε χθονίας, . vii. 19
Ἦ πυρὶ πάντα τεκοῦσα, . xi. 38
Ἦ ῥ' ὑπὸ σοὶ Χαρίδας, . iii. 62
Ἦ ῥά γε καὶ σύ, Φιλίννα, i. 34
Ἦ ῥά νύ τοι Κλεόνικε, . viii. 2
Ἦ σεῦ καὶ φθιμένας, . iii. 61
Ἦ σοβαρὸν γελάσασα, . ii. 22
Ἦ τὰ ῥόδα ῥοδόεσσαν, . x. 2
Ἦ τὸ πάλαι Λαΐς, . . ix. 6
Ἤβα μοι φίλε θυμέ, . xii. 6
Ἠγόρασας χαλκοῦν, . x. 36
Ἡδέα πάντα κέλευθα, . x. 10
Ἤδη καὶ ῥόδον ἐστί, . xii. 15
Ἤδη καλλιπέτηλον, . v. 1
Ἤδη λευκόϊον θάλλει, . i. 18
Ἤδη μὲν γλυκὺς ὄρθρος, . viii. 13
Ἤδη μὲν κροκύεις, . . xi. 41
Ἤδη που πάτηρς πελάσας, xi. 22
Ἤδη τοι φθινόπωρον, . ix. 11
Ἠδὺ θέρους διψῶντι, . i. 2
Ἤερα λεπταλέον, . . xii. 26
Ἠερίη Γεράνεια, . . iii. 24
Ἤθελον ἂν πλουτεῖν, . xii. 14
Ἦλθε Θεαίτητος, . . xii. 19
Ἦλθε καὶ ἐς Μίλατον, . ii. 15
Ἤμην ἀχρεῖον κάλαμος, . iv. 25
Ἦν νέος ἀλλὰ πένης, . ix. 29
Ἦν παρίης ἥρωα, . . v. 12
Ἦν τάχα συρίζοντος, . iv. 38
Ἦν τι πάθω Κλεόβουλε, i. 70
Ἦν τιν' ἔχῃς ἐχθρόν, . x. 29
Ἤνδανεν ἀνθρώποις, . xi. 7
Ἠοῦς ἄγγελε χαῖρε, . i. 20
Ἡράκλεες Τρηχῖνα, . ii. 18
Ἠράσθην· τίς δ' οὐχί, . x. 47
Ἠράσθης πλουτῶν, . ix. 16
Ἠρέμ' ὑπὲρ τύμβοιο, . iv. 12
Ἠρίον εἰμὶ Βίτωνος, . iii. 29
Ἠρίον οὐκ ἐπὶ πατρί, . iii. 40
Ἠρώων κάρυκ' ἀρετᾶς, . iv. 2
Ἠρώων ὀλίγαι μέν, . ix. 23
Ἡσιόδου ποτὲ βίβλον, . i. 4
Ἠὼς ἐξ ἠοῦς παραπέμπεται, . . . xii. 30

Θειονόης ἔκλαιον, . . vii. 18
Θέσπις ὅδε τραγικήν, . iv. 11
Θεσσαλὸν ἵππον ἔχεις, . x. 37

Θηρευτὴν Λάμπωνα, . xi. 16
Θνητὰ τὰ τῶν θνητῶν, . xii. 32
Θύρσις ὁ κωμήτης, . . vi. 22

Ἴζευ ὑπ' αἰγείροισιν, . iii. 31
Ἴζευ ὑπὸ σκιερὰν πλάτανον, . . . vi. 7
Ἵμερον αὐλήσαντι, . iv. 22
Ἰνοῦς ὦ Μελικέρτα, . ii. 6
Ἵππον Ἀθήνιον ᾖσεν, . i. 58
Ἰσιὰς ἠδύπνευστε, . . ix. 1
Ἴστω νυκτός ἐμῆς, . . iii. 47
Ἴϋγξ ἡ Νικοῦς, . . ii. 23

Καὶ καπυρὸν γελάσας, . iv. 15
Καὶ κραναᾶς Βαβυλῶνος, iv. 46
Καὶ νέκυν ἀπρήϋντος, . xi. 24
Καὶ πάλιν Εἰλήθυια, . vii. 12
Καὶ πίε νῦν καὶ ἔρα, . xii. 10
Καὶ πότε δινήεις ἄφοβος, xi. 32
Καί ποτε Θυμώδης, . iii. 25
Καὶ σὲ Κλεηνορίδη, . xi. 33
Κἀμὲ τὸν ἐν σμικροῖς, . v. 11
Κἂν μέχρις Ἡρακλέους, . xii. 28
Καππαδόκων ἔθνους, . xii. 16
Καρτερὰς ἐν πολέμοις, . iii. 8
Κάτθανον ἀλλὰ μένω σε, xi. 52
Κεῖμαι· λᾶξ ἐπίβαινε, . i. 72
Κεῖσαι δὴ χρυσέαν, . ii. 20
Κεκροπὶ ῥαῖνε λάγυνε, . i. 1
Κερκίδα τὰν ὀρθρινά, . ii. 30
Κῆν με φάγῃς ἐπὶ ῥίζαν, ix. 30
Κὴν πρύμνῃ λαχέτω με, x. 9
Κηρύσσω τὸν Ἔρωτα, . i. 12
Κλασθείσης ποτὲ νηός, . ix. 14
Κλῶνες ἀπηόριοι, . . vi. 17
Κρηθίδα τὴν πολύμυθον, iii. 42
Κρημνοβάταν δίκερων, . ii. 36
Κρὴς γενεὰν Βρόταχος, . iii. 66
Κυανέη καὶ τούσδε, . iii. 9
Κῦμα τὸ πικρὸν Ἔρωτος, i. 46
Κύπριδος οὗτος ὁ χῶρος, . vi. 24
Κωμάζω χρύσειον, . x. 8

Λαμπάδα θεὶς καὶ τόξα, . iv. 37
Λείψανον ἀμφίκλαστον, . ii. 8
Λευκάδος αἰπὺν ἔχων, . ii. 11
Λῆς ποτὶ τᾶν Μοισᾶν, . iv. 23
Λίσσομ' Ἔρως τὸν ἄγρυπνον, . . . i. 62
Λουσάμενοι Προδίκη, . xii. 1
Λύδος ἐγὼ, ναὶ Λύδος, . iii. 55

Ματρὸς ἔτ' ἐν κόλποισιν, i. 45
Μέλλον ἄρα στυγεράν, . ii. 29
Μέμνῃ που μέμνῃ, . ix. 5
Μὴ ζήτει δέλτοισιν, . x. 1
Μή με τὸν ἐκ Λιβάνοιο, . vi. 1
Μὴ μέμψῃ παριών, . vii. 22
Μὴ μύρα μὴ στεφάνους, xi. 2
Μὴ σοὶ τοῦτο Φιλαινί, . xi. 19
Μὴ σύ γε ποιονόμοιο, . vi. 3
Μηδ' ὅτ' ἐπ' ἀγκύρης, . xi. 23
Μηκέτι δειμαίνοντες, . vi. 25
Μηκέτι νῦν μινύριζε, . vi. 16
Μήνη χρυσόκερως δέκρῃ, i. 38
Μήποτε λύχνε μύκητα . vii. 9
Μνῆμα μὲν Ἑλλὰς ἅπασα, iv. 13
Μῦν Ἀσκληπιάδης, . x. 42
Μυρίος ἦν ὤνθρωπε, . xii. 27

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος, ... iv. 17
Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον, . . . iii. 17
Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε, . . . iii. 19
Ναυτίλε μὴ πεύθου, . iii. 21
Ναυτίλοι ὦ πλώοντες, . iii. 28
Νεβρείων ὁπόσον σάλπιγξ, iv. 10
Νῆα σοὶ ὦ πόντου, . ii. 5
Νηϊάδες καὶ ψυχρὰ βοαύλια, xi. 8
Νηῶν ὠκυπόρων ὃς ἔχεις, ii. 4
Νικόπολιν Μαράθωνις, . vii. 21
Νῖφε χαλαζοβόλει, . i. 8
Νύκτα μέσην ἐποίησε, . x. 18
Νυκτερινὴ δίκερως, . i. 39

Νυκτικόραξ ᾄδει, . . x. 14
Νυκτὸς ἀπερχομένης, . xii. 24
Νύμφαι ἐφυδριάδες, . ii. 16
Νύμφαι πευθομένῳ, . viii. 11
Νύμφας Βαυκίδος ἐμμί, . iii. 43
Νῦν ἄμμες πρόσθ' ἄλλοι, xii. 25
Νὺξ ἱερὴ καὶ λύχνε, . i. 67
Νύξ, σὲ γὰρ οὐκ ἄλλην, . i. 28

Ξεῖνε τάφον παρὰ λιτόν, iv. 9
Ξεῖνοι λαϊνέας μὴ ψαύετε, iv. 41

Ὁ βραχὺς Ἑρμογένης, . x. 19
Ὁ πλόος ὡραῖος, . . vi. 26
Ὁ πανὸς τὸν πτανόν, . iv. 36
Ο στέφανος περὶ κρατί, . i. 19
Οἶδ' ὅτι θνατὸς ἐγώ, . iv. 32
Οἶδ' ὅτι μοι πλούτου, . ix. 15
Οἶδε πάτραν πολύδακρυν, iii. 5
Οἶδε ποτ' Αἰγαίοιο, . iii. 11
Οἰνοπότας Ξενοφῶν, . x. 7
Ὀκτὼ μεν πήχεις ἄπεχε, xi. 30
Ὄλβια τέκνα γένοισθε, . vii. 16
Ὁλκάδα πῦρ μ' ἔφλεξε, . ix. 28
Ὁπλίζευ Κύπρι τόξα, . i. 50
Ὄρθρε τί μοι δυσέραστε, i. 24
Ὄρθρε τί νῦν δυσέραστε, i. 25
Ὄρθρος ἔβη Χρύσιλλα, . i. 23
Ὄρνεον ὦ Χάρισιν, . xi. 13
Ὀρφέος οἰχομένου, . iv. 19
Οὐ γάμον ἀλλ' Ἀΐδαν, . xi. 42
Οὐ δέχεται Μάρκον, . x. 34
Οὐ κλαίω ξείνων σε, . xii. 22
Οὐ κόνις οὐδ' ὀλίγον, . iii. 23
Οὐ μόνος ἐμψύχων, . x. 43
Οὐ πλόκαμον Δημοῦς, . i. 49
Οὐ σοὶ τοῦτ' ἐβόων, . i. 73
Οὐ τὸ ζῆν χαρίεσσαν, . xii. 45
Οὐ τὸ θανεῖν ἀλγεινόν, . iii. 38
Οὐ Τρηχὶς σε λίθειος, . iii. 14
Οὐδὲ νέκυς ναυηγός, . xi. 28
Οὐκ ἀποθνήσκειν δεῖ με, xii. 2
Οὐκ ἐθέλδυσα Τύχη, . ix. 17
Οὐκ ἐθέλω Φιλόθηρε, . vi. 28
Οὐκ εἶμ' οὐδ' ἑτέων, . i. 66
Οὐκ ἤμην γενόμην, . xii. 33
Οὐκ οἶδ' εἰ Διόνυσον, . xi. 18
Οὐκέθ' ὁμοῦ χιμάροισιν, . viii. 14
Οὐκέτ' ἀν' ὕλῆεν, . . xi. 12
Οὐκέτ' ἀνὰ Φρυγίην, . iv. 20
Οὐκέτι δή σε λίγεια, . xi. 14
Οὐκέτι θελγομένας, . iv. 4
Οὐκέτι που τλῆμον, . iii. 60
Οὔνομά μοι· τί δὲ τοῦτο, xi. 51
Οὔπω σοι καλύκων, . vii. 3
Οὔπω τοι πλοκαμοί, . xi. 34
Οὔριον ἐκ πρύμνης, . v. 3
Οὗτος ὁ μηδὲν ὁ λιτός, . xii. 17
Οὕτως ὑπνώσαις, . . i. 37
Ὀφθαλμοί, τέο μέχρις, . i. 33

Παῖδά με πενταέτηρον, . iii. 34
Παιδὸς ἀποφθιμένοιο, . iii. 37
Παλλὰς τὰν Κυθέρειαν, . iv. 39
Πὰν φίλε πηκτίδα μίμνε, vi. 10
Πᾶνά με τόνδ' ἱερῆς, . v. 7
Πανδώρης ὁρῶν γελόω, . ix. 10
Πάντα γέλως καὶ πάντα, xii. 34
Πάντα Χάρων ἄπληστε, xi. 39
Πάντες μὲν Κίλικες, . x. 39
Πάντες τῷ θανάτῳ, . xii. 36
Παντοίην βιότοιο, . . xii. 41
Πάντων μὲν μὴ φῦναι, . xii. 39
Παρθενικὴν νεαοιδόν, . iv. 7
Παρμενὶς οὐκ ἔργῳ, . i. 36
Πᾶσα θάλασσα θάλασσα, iii. 27
Πᾶσά σοι οἰχομένῳ, . iv. 18
Πᾶσαν ἐγὼ τὴν νύκτα, . i. 29
Πᾶσι θανεῖν μερόπεσσιν, xii. 4
Πειθοῖ καὶ Παφίᾳ, . vii. 8
Πέμπω σοι μύρον ἡδύ, . i. 44
Πέμπω σοι Ῥοδόκλεια, . ix. 2
Πέντε θανὼν κείσῃ, . xii. 7
Πέντε μετ' ἄλλων Χάρμος, x. 17
Πῖν' Ἀσκληπιάδη, . x. 45
Πῖνε καὶ εὐφραίνου, . xii. 5

Πίνωμεν Βάκχου ζωρόν, . xii. 11
Πλέξω λευκοῖον, . . i. 16
Πλοῦς σφαλερὸς τὸ ζῆν, . xii. 23
Πλουτεῖς καὶ τί τὸ λοιπόν, xii. 29
Πλωτῆρες σώζοισθε, . iii. 18
Ποίην τις βιότοιο, . . xii. 40
Ποιμένες οἱ ταύτην, . xi. 9
Ποιμενίαν ἄγλωσσος, . vi. 15
Ποιμὴν ὦ μάκαρ εἴθε, . xi. 29
Πολλὰ λαλεῖς ἄνθρωπε, . xii. 47
Πολλάκι μὲν τόδ' ἄεισα, xii. 12
Ποῦ σοι τόξον ἐκεῖνο, . xii. 46
Ποῦ τὸ περίβλεπτον, . ix. 20
Πρηΰτερον γῆράς σε, . xi. 5
Προσδοκῆ θανάτου, . xii. 21
Πρώτας ὀππότ' ἔπεξε, . vii. 6
Πταίης μοι κύνωψ, . i. 61
Πτανῷ πτανὸν Ἔρωτα, . iv. 35
Πωλείσθω καὶ ματρός, . i. 52
Πῶς γενόμην; πόθεν εἰμί, xii. 35
Πῶς τις ἄνευ θανάτου, . xii. 38

Ῥιπίζων ἐν ὕπνοις, . x. 23
Ῥουφῖνος τῇ 'μῇ, . . i. 30

Σῆμα Θεόγνιδος εἰμί, . iii. 63
Σιγάτω λάσιον Δρυάδων, vi. 8
Σκήνη πᾶς ὁ βίος, . . xii. 44
Σοὶ καὶ νῦν ὑπὸ γῆν, . iii. 56
Σοὶ τάδε Πὰν σκοπιῆτα, ii. 39
Σοὶ τάδε συρικτά, . . ii. 17
Σπήλυγγες Νυμφῶν, . ii. 41
Στρογγύλη εὐτόρνευτε, . x. 6
Στρυμόνι καὶ μεγάλῳ, . ix. 25
Στῶμεν ἀλιρράκτοιο, . vi. 23
Σφαιριστὰν τὸν Ἔρωτα, i. 48
Σώζεο σοὶ μέλλων, . i. 21
Σῶμα μὲν ἀλλοδαπή, . xi. 20

Τὰ ῥόδα τὰ δροσόεντα, . ii. 19
Τᾷδ' ὑπὸ τὰς πλατάνους, vi. 9
Τᾷδε κατὰ χλοεροῖο, . vi. 4
Τὰν ἔλαφον Λάδωνα, . ii. 42
Τὰς τρίχας ὦ Νίκυλλα, . x. 13
Τέθνηκ' Εὐτυχίδης, . iv. 24
Τέσσαρες αἱ χάριτες, . i. 57
Τῇ Παφίῃ στεφάνους, . vii. 15
Τῇ ῥά ποτ' Οὐλύμποιο, . x. 5
Τῇδ' ὑπὸ τὴν ἄρκευθον, . v. 5
Τῇδε Σάων ὁ Δίκωνος, . iii. 67
Τῇδε τὸν ἐκ Μελίτης, . iii. 58
Τὴν Διὸς ἀμφίπολον, . v. 14
Τὴν κυανῶπιν Μοῦσαν, . iii. 45
Τὴν μικρήν με λέγουσι, . v. 13
Τὴν μικρὴν παίζουσαν, . x. 22
Τὴν περινηχομένην, . i. 51
Τὴν πόλιν οἱ νέκυες, . ix. 27
Τὴν σεμνῶς ζήσασαν, . iii. 50
Τὴν τρίβον δς παράγεις, . iii. 57
Τὴν ψυχὴν Ἀγάθωνα, . viii. 5
Τί πλέον εἰς ᾠδῖνα, . iii. 41
Τί στυγνή; τί δὲ ταῦτα, i. 63
Τιμαρέτα πρὸ γάμοιο, . vii. 5
Τίπτε μάτην ἄνθρωπε, . xii. 42
Τίπτε μάτην γοδωντες, . iii. 53
Τίπτε με τὸν φιλέρημον, vi. 20
Τίπτε πανημέριος, . . vi. 21
Τίς δύναται γνῶναι, . i. 76
Τίς ξένος, ὦ ναυηγέ, . iii. 22
Τίς τίνος εὖσα γύναι, . iii. 52
Τμώλῳ ὑπ' ἀνθεμόεντι, . v. 4
Τὸ ῥόδον ἀκμάζει, . . ix. 4
Τὸ σκύφος ἠδὺ γέγηθε, . i. 11
Τὸ χρέος ὡς ἀπέχεις, . vii. 13
Τὸν γαίης καὶ πόντου, . iii. 3
Τόν με λίθον μέμνησο, . vi. 11
Τὸν μικρὸν Μάκρωνα, . x. 21
Τὸν Σάτυρον Διόδωρος, . iv. 45
Τοῦ γρυτοῦ Νίκωνος, . x. 44
Τοῦ λιθινοῦ Διός, . . x. 26
Τοὺς καταλείψαντας, . xii. 20
Τοῦτο σοί Ἄρτεμι δῖα, . ii. 40
Τοῦτό τοι ἡμετέρης, . iii. 64
Τρῖγλαν ἀπ' ἀνθρακιῆς, . ii. 9
Τῷ με Κανωπίτᾳ, . . ii. 26

Τῷ πατρί μου τὸν ἀδελφόν, x. 31
Τῶνδε δι' ἀνθρώπων, . iii. 6

Ὕδασι καὶ κήποισι, . vi. 29
Ὑπνώεις ὦ 'ταῖρε, . . xii. 8
Ὑστάτιον Φώκαια, . xi. 45
Ὑψίκομον παρὰ τάνδε, . vi. 5

Φείδῃ παρθενίης, . . ix. 8
Φεῦ σὺ Μύρων πλάσσας, iv. 44
Φῆ ποτε Πρωτόμαχος, . xi. 40
Φησὶν ὅ με στήσας, . ii. 13
Φρὴν ἱερὴ μεγάλου, . ii. 2
Φριξοκόμα τόδε Πανί, . ii. 37
Φωσφόρε μὴ τὸν Ἔρωτα, i. 22

Χαίρειν τὸν κατὰ γᾶς, . iii. 39
Χαίρετ' Ἀριστείδου, . x. 33
Χεῖλος Ἀνικήτεια, . vii. 2
Χειρουργῶν ἔσφαξεν, . x. 30
Χρυσὸν ἀνὴρ εὑρών, . ix. 31

Ψηφίζεις κακόδαιμον, . xii. 3
Ψυχὴ δυσδάκρυτε, . . i. 47
Ψυχή μοι προλέγει, . i. 31

Ὦ δείλαιε τὸ Θύρσι, . xi. 15
Ὦ μύες εἰ μὲν ἐπ' ἄρτον, iv. 27
Ὦ νὺξ ὦ φιλάγρυπνος, . i. 68
Ὦ ξεῖν' ἄγγειλον, . . iii. 4
Ὦ ξένε τόνδε τάφον, . iv. 8
Ὦ Πὰν φερβομέναις, . ii. 44
Ὦ Χρόνε παντοίων, . iii. 7
Ὠκύμορόν με λέγουσι, . xii. 9
Ὡμολόγησ' ἥξειν, . . i. 27
Ὥπλισμαι πρὸς Ἔρωτα, . i. 7
Ὥριος εἶχέ σε παστάς, . xi. 43
Ὤφελε μηδ' ἐγένοντο, . xi. 31

Printed by T. and A. Constable, Printers to His Majesty
at the Edinburgh University Press, Scotland

P. 78 ΚΑΛΛΙΜΑΧΟΥ

P. 44 "To tell the Spartans, thou that ...

P. 145 "This little girl ...."

P. 134 "When I am dead ...."

P. 43 Simonides.

12 XXXV οὐδεν καὶ μηδεν